# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ ΒΙΒΛΙΑ ΙΒ

# MARCI ANTONINI IMPERATORIS IN SEMET IPSVM LIBRI XII

RECOGNOVIT

HENRICVS SCHENKL

EDITIO MAIOR

LIPSIAE IN AEDIBVS B. G. TEVBNERI MCMXIII

# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Α

1. *Παρὰ τοῦ πάππου Οὐήρου τὸ καλόηθες καὶ ἀόργητον.* AT

2. *Παρὰ τῆς δόξης καὶ μνήμης τῆς περὶ τοῦ γεννήσαντος τὸ αἰδῆμον καὶ ἀρρενικόν.*

3. *Παρὰ τῆς μητρὸς τὸ θεοσεβὲς καὶ μεταδοτικὸν καὶ ἀφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης· [2]ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν καὶ πόρρω τῆς πλουσιακῆς διαγωγῆς.*

4. *Παρὰ τοῦ προπάππου τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι· [2]καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ' οἶκον χρήσασθαι· [3]καὶ τὸ γνῶναι, ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν.*

5. *Παρὰ τοῦ τροφέως τὸ μήτε Πρασιανὸς μήτε Βενετιανὸς μήτε Παλμουλάριος ἢ Σκουτάριος γενέσθαι· [2]καὶ τὸ φερέπονον καὶ ὀλιγοδεὲς καὶ αὐτουργικόν· [3]καὶ τὸ ἀπολύπραγμον· [4]καὶ τὸ δυσπρόσδεκτον διαβολῆς.*

---

17 Suid. *Πρασιανός: ὅτι Πρ. λέγεται καὶ Βε. καὶ Πα. καὶ Σκ. παρὰ Μάρκῳ Ἀντωνίνῳ.* id. *Βενετιανός: ὄνομα κύριον* et *Παλμουλάριος: ὄ. κ.*

---

1 de inscr. cf. quae post conspectum siglorum adnotata sunt. 10 *ἀφεκτικὸν* Lofft, Scaph., Stich. (*in abstinendo* Xyl.): *ἐφεκτικὸν* T, *ἀφετικὸν* A. 19—20 *καὶ τὸ αὐτουργικὸν καὶ ἀπολύπραγμον* A; fortasse *τὸ* illud vacillans delendum. 20 *δυσπρόδεκτον* T (*admittere* Xyl.).

AT 6. *Παρὰ Διογνήτου τὸ ἀκενόσπουδον·* [2]*καὶ τὸ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων περὶ ἐπῳδῶν καὶ περὶ δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις·* [3]*καὶ τὸ μὴ ὀρτυγοτροφεῖν μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι·* [4]*καὶ τὸ ἀνέχεσθαι παρρησίας·* [5]*καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ·* [6]*καὶ τὸ ἀκοῦσαι πρῶτον μὲν Βακχείου, εἶτα Τανδάσιδος καὶ Μαρκιανοῦ·* [7]*καὶ τὸ γράψαι διαλόγους ἐν παιδί·* [8]*καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα.*

ATD 7. *Παρὰ Ῥουστίκου τὸ λαβεῖν φαντασίαν τοῦ χρῄζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους·* [2]*καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικὸν μηδ' ε⟨ἰς⟩ τὸ συγγράφειν περὶ τῶν θεωρημάτων ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν ἢ τὸν εὐεργετικὸν ἄνδρα ἐπιδείκνυσθαι·* [3]*καὶ τὸ ἀποστῆναι ῥητορικῆς καὶ ποιητικῆς καὶ ἀστειολογίας·* [4]*καὶ τὸ μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν μηδὲ τὰ τοιαῦτα ποιεῖν·* [5]*καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ' αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν·* [6]*καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως*

1 Suid. *ἀκενόσπουδον: παρὰ Διογνήτου ἔμαθον τὸ ἀκ. . . . . ἀπιστητικόν, φησὶ Μάρκος ὁ φιλόσοφος βασιλεύς.* 2 Suid. *τερατεία: τοῖς . . . ἀποπομπῆς.* 3 Suid. *ὀρτυγοκόπος: μηδὲ ὀρτυγοκοπεῖν . . . ἐπτοῆσθαι.* 11 *παρὰ Ῥουστίκῳ] Ὅτι Ῥούστικος* ⟨*μὲν* postea add.⟩ *Μάρκον πεπαίδευκε τὸ κτλ.* D. 17 Suid. *στολίον: μὴ . . . περιπατεῖν.* 18 Suid. *ἀφέλεια:* (*καὶ*) *τὰ ἐπ. ἀφ. γράφειν.* 20 Suid. *εὐανακλήτως: καὶ πρὸς τοὺς . . . θέλωσιν.*

3 ante *δαιμόνων* om. *περὶ* Suid. 4 *καὶ τὸ μὴ*] *μηδὲ* Suid. *ὀρτυγοκοπεῖν* Suid. 7 *Βακχίου* T. 11 *φαντασίαν λαχεῖν* D. 13 supplevi (*μηδ' ἐ⟨πὶ⟩* Polak): *μηδὲ τὸ* AD, *μηδὲ τοῦ* T. 17 *στολίῳ* Suid.: *στολῇ.* 18—20 *μηδὲ . . . ποιεῖν* et *οἷον . . . γραφέν* om. D. 19 *τὸ* om. A. 20 ⟨*ἔχειν*⟩ *καὶ* (om. *διακεῖσθαι*) Suid.

καὶ εὐδιαλλάκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ATD ἐθελήσωσι, διακεῖσθαι· [7]καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι· [8]καὶ τὸ ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκεν.

8. *Παρὰ Ἀπολλωνίου* τὸ ἐλεύθερον καὶ ἀναμφιλόγως ἀκύβευτον· [2]καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν μηδὲ ἐπ' ὀλίγον ἢ πρὸς τὸν λόγον· [3]καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις· [4]καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς, ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι καὶ ἀνειμένος· [5]καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν· [6]καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα· [7]καὶ τὸ μαθεῖν, πῶς δεῖ ATDC λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων μήτε ἐξηττώμενον διὰ ταῦτα μήτε ἀναισθήτως παραπέμποντα.

9. *Παρὰ Σέξτου* τὸ εὐμενές· [2]καὶ τὸ παράδειγμα τοῦ ATD οἴκου τοῦ πατρονομουμένου· [3]καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν· [4]καὶ τὸ σεμνὸν ἀπλάστως· [5]καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς· [6]καὶ τὸ ἀνεκτικὸν τῶν

---

4 Suid. *περιλαλοῦσιν*: *τοῖς περιλ. μὴ ταχ. συγκ.* 6 *Παρὰ Ἀπολλωνίου*] *ὁ δ' ἀπολλώνιος* D. 15 *καὶ τὸ*] *Ὅτι χρὴ* C. 18 *παρὰ Σέξτου*] *ὁ δὲ σέξστος* D. Suid. *ἀπαθέστατα*: *εὐμενῆ δεῖ εἶναι καὶ* (21) *ἀνεκτικὸν . . . ἀψοφητί*.

---

1 *εὐδιαλλάκτως* D, Xylander: *εὐδιαλέκτως* AT, *εὐαναδιδάκτως* Suid. *τάχιστα* om. Suid. 2 *θέλωσι* Suid. *ἀκριβῶς . . . ὁλοσχερῶς* om. D. 3 *μηδὲ*] *μὴ* D et Suid. 6 *ἀναμφιβόλως* T. 7 *καὶ* ⟨*τὸ*⟩ *πρὸς* Lofft. 14 *τὴν* alt. om. AD. 18 *Σέξτου* T, *σέξστος* D corr.: *ξέστου* A, *Ξεστου* Tox. (sec. Xyl.; *Ξεστοῦ* in Bas.), *ξέστος* D pr. *καὶ τὸ . . . πατρονομουμένου* om. D. 20 ⟨*καὶ*⟩ *ἀπλάστως* A (cf. p. 3, 9), ⟨*καὶ*⟩ *ἄπλαστον* D.

ATD ἰδιωτῶν καὶ τὸ ἀθεώρητον οἰομένων· [7]καὶ τὸ πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι· [8]καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον ἀναγκαίων δογμάτων· [9]καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς ἢ ἄλλου τινὸς πάθους παρασχεῖν, ἀλλὰ ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα δὲ φιλοστοργότατον· [10]καὶ τὸ εὔφημον καὶ τὸ ἀψοφητί· [11]καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως.

10. *Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ* τὸ ἀνεπίπληκτον· [2]καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ σόλοικόν τι ἢ ἀπηχὲς προενεγκαμένων, ἀλλ' ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο, ὃ ἔδει εἰρῆσθαι, προφέρεσθαι ἐν τρόπῳ ἀποκρίσεως ἢ συνεπιμαρτυρήσεως ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι' ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως.

11. *Παρὰ Φρόντωνος* τὸ ἐπιστῆσαι, οἵα ἡ τυραννικὴ βασκανία καὶ ποικιλία καὶ ὑπόκρισις, καὶ ὅτι ὡς ἐπίπαν

---

11 *Παρὰ Ἀλ. τοῦ γρ.*] ὁ δὲ γραμματικὸς Ἀλέξανδρος D.
12 Suid. ἀπηχές (I) et ἐπιλαμβάνεσθαι (II): μὴ . . . προενεγκαμένων. 19 παρὰ φρόντωνος ⟨μεμάθηκε⟩ D.

---

1 τὸ om. Suid. *οἰομένων* A, Suid.: *τῶν οἰομένων* T, *τῶν ἰωμένων* D; *τῶν ἀθεωρήτως οἰομένων* Gat., *τῶν ἀθεώρητόν τι οἰομ.* Toup. *καὶ τὸ* om. Suid. 2 *μὲν* om. Suid. 3 *αὐτοῦ . . . (6) δογμάτων καὶ τὸ*] *προσηνῆ καὶ αἰδέσιμον πᾶσι* Suid. 5 *καταληπτικὸν* D. 7 *ἢ . . . πάθους* om. Suid. *ἀλλὰ . . . εὔφημον*] *εὐστοργότατον καὶ εὐφημότατον* Suid. 8 *ἀπεχθέστατον* T (corr. Bas.; *affectibus vacuus* Xyl.). 9 *καὶ τὸ* ante *ἀψ.* AD (cf. p. 2, 20): *καὶ τοῦτο* T; om. Suid. et Xyl. del. Scaph.
13 *σόλοικον* (*τι* s. l.) A; *σόλοικον ἢ ἀπηχές τι* Suid. II.
14 *ἐκείνω ὧ* A. 20 *ὡς ἐπίπαν* om. D.

οἱ καλούμενοι οὗτοι παρ' ἡμῖν εὐπατρίδαι ἀστοργότεροί πως εἰσί. ATD

12. *Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ* τὸ μὴ πολλάκις μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι, μηδὲ διὰ τούτου τοῦ τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα.

13. *Παρὰ Κατούλου* τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος, ἀλλὰ πειρᾶσθαι καὶ ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες· [2]καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα τὰ περὶ Δομετίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα· [3]καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν.

14. *Παρὰ τοῦ ἀδελφοῦ μου Σεουήρου* τὸ φιλοίκειον καὶ φιλάληθες καὶ φιλοδίκαιον· [2]καὶ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου κατ' ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· [3]καὶ ἔτι παρὰ τοῦ αὐτοῦ τὸ ὁμαλὲς καὶ ὁμότονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας· [4]καὶ τὸ εὐποιητικὸν καὶ τὸ εὐμετάδοτον ἐκτενῶς·

---

3 Suid. *ἄσχολος: μὴ . . . πράγματα.*

---

5 *τούτου τοῦ* AD: *τοιούτου* T, Suid. 7 *προβαλόμενον* A. 11 *καὶ* pr. om. Xyl., del. Reiske (idem ⟨*πραΰνειν*⟩ *καὶ* coni.). *τὸ* alt. s. l. D. 12 *ἐκθύμως* (*κ* corr.) A. *Δομετίου* scripsi: *δομητίου*; *Domitio* Xyl., *Δομιτίου* Gat. 15 *μου* s. l. A, *αὐτοῦ* D. *τοῦ ἀδελφοῦ μου* del. Moshemius, *τοῦ φίλου μου* coni. Gat. *σευουήρου* AD; *Οὐήρου* Scaliger, Salm., Baronius. 16 *αὐτῶν* A; *αὐτοῦ* Stich. 17 *Θρασέαν . . . Βροῦτον*] *τοὺς περὶ κάτωνα καὶ δίωνα καὶ βροῦτον* D. 20—21 *παρ' αὐτοῦ* T (*eundem* Xyl.). 21 *ὁμαλὲς* (quod dissuaserat Cas.) Cor.: *ἀμελὲς*.

ATD [5]καὶ τὸ εὔελπι καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι· [6]καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας· [7]καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ τί θέλει ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι.

15. *Παρὰ Μαξίμου* τὸ κρατεῖν ἑαυτοῦ καὶ κατὰ μηδὲν περίφορον εἶναι· [2]καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι καὶ ἐν ταῖς νόσοις· [3]καὶ τὸ εὔκρατον τοῦ ἤθους καὶ μείλιχον καὶ γεραρόν· [4]καὶ τὸ οὐ σχετλίως ATDC κατεργαστικὸν τῶν προκειμένων· [5]καὶ τὸ πάντας αὐτῷ πιστεύειν, περὶ ὧν λέγοι, ὅτι οὕτως φρονεῖ, καὶ περὶ ATD ὧν πράττοι, ὅτι ἀκάκως πράττει· [6]καὶ τὸ ἀθαύμαστον καὶ ἀνέκπληκτον καὶ μηδαμοῦ ἐπειγόμενον ἢ ὀκνοῦν ἢ ἀμηχανοῦν ἢ κατηφὲς ἢ προσσεσηρὸς ἢ πάλιν θυμούμενον ἢ ὑφορώμενον· [7]καὶ τὸ εὐεργετικὸν καὶ τὸ συγγνωμονικὸν καὶ τὸ ἀψευδές· [8]καὶ τὸ ἀδιαστρόφου μᾶλλον ἢ AT διορθουμένου φαντασίαν παρέχειν· [9]καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ' αὐτοῦ οὔτε ὑπέμεινεν ἂν ATD κρείττονα αὐτοῦ αὐτὸν ὑπολαβεῖν· [10]καὶ τὸ εὔχαρι ἐν τ . . . . . . . . . ίζεσθαι.

16. *Παρὰ τοῦ πατρὸς* τὸ ἥμερον καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων· [2]καὶ τὸ ἀκενό-

---

10 *καὶ τὸ*] Ὅτι δεῖ τοιοῦτον ἑαυτὸν παρέχειν ὥστε C.

---

4—5 ἢ τί οὐ θέλει om. AD. 6 *Παρὰ*] *Παράκλησις* T. 9 μειλίχιον T. τὸ om. T. 10 πάντως AD. 11 λέγει CD. 12 πράττει CD, πράττῃ T. ἀκάκως Reiske: οὐ κακῶς. 13 μηδαμῇ D ἐπιγινόμενον AD. 14 προσσεσηρὸς D pr., Gat.: προσεσηρὸς A corr. TD corr., προσηρὸς A pr. παλιενθυμούμενον A (litteris λιεν lineola subducta notatis) D. 16 τὸ alt. om. T. 17—18 ᾠήθειάν ποτε A. 18 ὑπομείνειεν ἂν A. 19 lacunam notavi (εὔχαρι ἐν ταῖς ὁμιλίαις Leop[m].). 22 τῶν] τὸ T (corr. Bas.; *in iis quae* Xyl.).

δοξον περὶ τὰς δοκούσας τιμάς· [3]καὶ τὸ φιλόπονον καὶ ATD ἐνδελεχές· [4]καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν· [5]καὶ τὸ ἀπαρατρέπτως † εἰς τὸ κατ' ἀξίαν ἀπονεμητικὸν ἑκάστῳ· [6]καὶ τὸ ἔμπειρον, ποῦ μὲν χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως· [7]καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρακίων· [8]καὶ ἡ κοινονοημοσύνη καὶ τὸ AT ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως μήτε συναποδημεῖν ἐπάναγκες, ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων· [9]καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις ATD καὶ ἐπίμονον, ἀλλ' οὐ τὸ † προαπέστη τῆς ἐρεύνης, ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις· [10]καὶ τὸ διατηρητικὸν τῶν φίλων καὶ μηδαμοῦ ἀψίκορον μηδὲ ἐπιμανές· [11]καὶ τὸ αὔταρκες ἐν παντὶ καὶ τὸ φαιδρόν· [12]καὶ τὸ πόρρωθεν προνοητικὸν καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως· [13]καὶ τὸ τὰς ἐπιβοήσεις καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ σταλῆναι· [14]καὶ τὸ φυλακτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ καὶ ταμιευτικὸν τῆς χορηγίας καὶ ὑπομενετικὸν τῆς ἐπὶ τῶν τοιούτων τινῶν καταιτιάσεως· [15]καὶ τὸ μήτε περὶ θεοὺς δεισίδαιμον μήτε περὶ ἀνθρώπους δημοκοπικὸν ἢ ἀρεσκευτικὸν ἢ ὀχλοχαρές, ἀλλὰ νῆφον ἐν πᾶσι καὶ βέβαιον καὶ μηδαμοῦ ἀπειρόκαλον μηδὲ καινοτόμον· [16]καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου

---

13 Suid. ἀψίκορον: συντηρητικὸν δεῖ εἶναι πρὸς τοὺς φίλους καὶ μηδαμοῦ ἀψ.

---

3 εἰς τὸ] τοῦ Reiske; malim ἀεὶ τοῦ. 5 ἐνστάσεως AD. 11 ἀλλ' . . . φαντασίαις om. D. οὐ ⟨μόνον⟩ τὸ Tox.; μόνον τὸ del. Xylander. ἀλλ' οὐ τό· προαπέστη Bas.; καὶ ὅτι οὐ πρ. Gat.; ⟨ἵν' (ὧν Rendall) ἂν⟩ ἄλλος τις πρ. Lofft. 17 ἐπ' TD: ὑπ' A, Morus. συσταλῆναι Xylander. τὸ om AD. 19 ⟨τὸ⟩ ἐπιμενετικὸν D. 20 ⟨τοὺς⟩ θεοὺς T. δεισιδαῖμον: corr. Leop.

ATD φέρουσί τι, ὧν ἡ τύχη δαψίλειαν παρέχει, χρηστικὸν
ἀτύφως ἅμα καὶ ἀπροφασίστως, ὥστε παρόντων μὲν
AT ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι· [17]καὶ
τὸ μηδὲ ἄν τινα εἰπεῖν μήτε ὅτι σοφιστὴς μήτε ὅτι οὐερ-
νάκλος μήτε ὅτι σχολαστικός, ἀλλ' ὅτι ἀνὴρ πέπειρος,
τέλειος, ἀκολάκευτος, προεστάναι δυνάμενος καὶ τῶν
ATDC ἑαυτοῦ καὶ ἄλλων· [18]πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν
τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις οὐκ ἐξονει-
ATD διστικὸν οὐδὲ μὴν εὐπαράγωγον ὑπ' αὐτῶν· [19]ἔτι δὲ τὸ
εὐόμιλον καὶ εὔχαρι οὐ κατακόρως· [20]καὶ τὸ τοῦ ἰδίου
σώματος ἐπιμελητικὸν ἐμμέτρως οὔτε ὡς ἄν τις φιλόζωος
οὔτε πρὸς καλλωπισμὸν οὔτε μὴν ὀλιγώρως, ἀλλ' ὥστε
διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν
ἢ φαρμάκων καὶ ἐπιθεμάτων ἐκτός· [21]μάλιστα δὲ τὸ
παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημέ-
νοις, οἷον τὴν φραστικὴν ἢ τὴν ἐξ ἱστορίας νόμων ἢ
ἐθῶν ἢ ἄλλων τινῶν πραγμάτων, καὶ συσπουδαστικὸν
αὐτοῖς, ἵνα ἕκαστοι κατὰ τὰ ἴδια προτερήματα εὐδοκι-
μῶσι· πάντα δὲ κατὰ τὰ πάτρια πράσσων οὐδ' αὐτὸ τοῦ-
το ἐπιτηδεύων φαίνεσθαι, τὸ τὰ πάτρια φυλάσσειν·
[22]ἔτι δὲ τὸ μὴ εὐμετακίνητον καὶ ῥιπταστικόν, ἀλλὰ καὶ
τόποις καὶ πράγμασι τοῖς αὐτοῖς ἐνδιατριπτικόν· [23]καὶ

---

7 πρὸς . . . (9) αὐτῶν] Ὅτι δεῖ τιμᾶν τοὺς ὡς ἀληθῶς φιλοσόφους, τοὺς δὲ ἄλλους μὴ ἐξονειδίζειν μηδὲ παράγεσθαι ὑπ' αὐτῶν C. 10 Suid. προσοχή: τοῦ ἰδ. σ. ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως . . . ἐκτός.

---

1 παρέχει δαψίλειαν T. παρεῖχε Cas. 4 μηδὲ AD: μήτε T. ⟨οἰκογενὴς⟩ οὐερνάκλος T. 7 δὲ καὶ om. D. 8 ⟨ὡς⟩ ἀληθῶς C. 9 οὐδὲ . . . αὐτῶν om. T. 13 ἰατρικῶν T. 14 ἢ om. Suid. ἐπιθεμάτων Suid.: ἐπιθημάτων. ⟨ἐντὸς καὶ⟩ ἐκτὸς Suid. 16 ἢ ⟨τῶν⟩ τὴν T; ἢ τὴν τῶν Cas., Gat. 18 ἕκαστος? 19 πράσσειν et ἐπιτηδεύειν D. 20 τὸ] καὶ A.

τὸ μετὰ τοὺς παροξυσμοὺς τῆς κεφαλαλγίας νεαρὸν εὐ- ATD θὺς καὶ ἀκμαῖον πρὸς τὰ συνήθη ἔργα· [24]καὶ τὸ μὴ εἶναι αὐτῷ πολλὰ τὰ ἀπόρρητα, ἀλλ᾽ ὀλίγιστα καὶ σπανιώτατα καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνων· [25]καὶ τὸ ἔμφρον καὶ μεμετρημένον ἔν τε θεωριῶν ἐπιτελέσει καὶ ἔργων κατασκευαῖς καὶ διανομαῖς καὶ τοῖς τοιούτοις, ⟨ἃ⟩ ἀνθρώπου πρὸς αὐτὸ τὸ δέον πραχθῆναι δεδορκότος, οὐ πρὸς τὴν ἐπὶ τοῖς πραχθεῖσιν εὐδοξίαν. [26]οὐκ [ἐν] ἀωρὶ λούστης, οὐχὶ φιλοικοδόμος, οὐ περὶ τὰς ἐδωδὰς ἐπινοητής, οὐ περὶ ἐσθήτων ὑφὰς καὶ χρόας, οὐ περὶ σωμάτων ὥρας. [27]ἡ ἀπὸ Λωρίου AT στολὴ ἀνάγουσα ἀπὸ τῆς κάτω ἐπαύλεως καὶ τῶν ἐν Λανουβίῳ τὰ πολλά· [28]τῷ τελώνῃ ἐν Τούσκλοις παραιτουμένῳ ὡς ἐχρήσατο καὶ πᾶς ὁ τοιοῦτος τρόπος. [29]οὐδὲν ἀπηνὲς οὐδὲ μὴν ἀδυσώπητον οὐδὲ λάβρον οὐδὲ ὥστ᾽ ἄν τινα εἰπεῖν ποτε 'ἕως ἱδρῶτος', ἀλλὰ πάντα διειλημμένα λελογίσθαι ὡς ἐπὶ σχολῆς, ἀταράχως, τεταγμένως, ἐρρωμένως, συμφώνως ἑαυτοῖς. [30]ἐφαρμόσειε δ᾽ ἂν αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμενον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀπολαύειν ἐδύνατο τούτων, ὧν πολλοὶ πρός τε τὰς ἀποχὰς ἀσθενῶς καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσι. [31]τὸ δὲ ἰσχύειν καὶ ἐγκαρτερεῖν καὶ ἐννήφειν ἑκατέρῳ ἀνδρός ἐστιν ἄρτιον καὶ ἀήττητον ψυχὴν ἔχοντος, οἷον ἐν τῇ νόσῳ τῇ Μαξίμου.

---

1 *νοερὸν* D. 4 *ὑπὸ* D. *μόνον* T. 5 *μεμελετημένον* D. 6 *καὶ διανομαῖς* om. D. 7 ⟨ἃ⟩ (fort. ⟨οἷα⟩) *ἀνθρώπου* scripsi: *ἀνθρώποις*; ⟨*ὅ ἐστιν*⟩ *ἀνθρώπου* Menagius, Morus. ⟨*δὲ*⟩ *τὸ* T. 8 *δεδορκός* D. 9 *ἐν* del. Lugd., Salm.; *ἦν* Rendall. *ἀωρεὶ* T. *ἐν ἀωρίᾳ* Gat. 14 *τρόπος* T: *πόπος* A pr., *τόπος* A corr. Tox. 16 *ὡς* T. *ἕως ἱδρῶτος* T: *οὐ μ* . . . . . (cum spatio vacuo 5 vel 6 litterarum) A. 17 *τεταραγμένως* A. ⟨*οἱ*⟩ *πολλοὶ* Schultz II. 22 *ἔτι καρτερεῖν*: em. Gat. 23 *ἀνδρός . . . ἔχοντος* om. A.

AT 17. *Παρὰ τῶν θεῶν τὸ ἀγαθοὺς πάππους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφήν, ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους, συγγενεῖς, φίλους, σχεδὸν ἅπαντας ἔχειν· [2]καὶ ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆσαί τι καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ' ἧς, εἰ ἔτυχε, κἂν ἔπραξά τι τοιοῦτον· τῶν θεῶν δὲ εὐποιΐα τὸ μηδεμίαν συνδρομὴν πραγμάτων γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν· [3]καὶ τὸ μὴ ἐπὶ πλέον τραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάππου· [4]καὶ τὸ τὴν ὥραν διασῶσαι καὶ τὸ μὴ πρὸ ὥρας ἀνδρωθῆναι, ἀλλ' ἔτι καὶ ἐπιλαβεῖν τοῦ χρόνου· [5]τὸ ἄρχοντι καὶ πατρὶ ὑποταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τῦφον ἀφαιρήσειν μου καὶ εἰς ἔννοιαν ἄξειν τοῦ ὅτι δυνατόν ἐστιν ἐν αὐλῇ βιοῦντα μήτε δορυφορήσεων χρῄζειν μήτε ἐσθήτων σημειωδῶν μήτε λαμπάδων καὶ ἀνδριάντων τοιῶνδέ τινων καὶ τοῦ ὁμοίου κόμπου, ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν καὶ μὴ διὰ τοῦτο ταπεινότερον ἢ ῥαθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα· [6]τὸ ἀδελφοῦ τοιούτου τυχεῖν δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ, ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με· [7]τὸ παιδία μοι ἀφυῆ μὴ γενέσθαι μηδὲ κατὰ τὸ σωμάτιον διάστροφα· [8]τὸ μὴ ἐπὶ πλέον με προκόψαι ἐν ῥητορικῇ καὶ ποιητικῇ καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ᾐσθόμην ἐμαυτὸν εὐόδως προϊόντα· [9]τὸ φθάσαι τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ*

---

3 *ἅπαντα ἔχειν* A, *ἅπαντα σχεῖν* T: em. Schultz. 6 *τοιοῦτο* T. 7 *ἤμελλέ* A. 8 *μὴ πλέον ἐπιτραφῆναι* T; fort. *μὴ ἐπὶ πλέον ἔτι τρ. τύφον*: corr. Stich. 12 *ἕξειν* A. 15 *τοιῶνδέ τινων* del. Morus. 16 *μὴ* A: *νὴ* (*δία*)T. 22 *μὴ* A, Bas. (*neque* Xyl.): *μὲν* T. 23 *ἐν* ⟨*τῇ*⟩ A. 24 *μετεσχέθην* A.

μὴ ἀναβαλέσθαι ἐλπίδι τοῦ με, ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν· [10]τὸ γνῶναι Ἀπολλώνιον, Ῥούστικον, Μάξιμον· [11]τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷός τίς ἐστιν· ὥστε, ὅσον ἐπὶ τοῖς θεοῖς καὶ ταῖς ἐκεῖθεν διαδόσεσι καὶ συλλήψεσι καὶ ἐπι<π>νοίας, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἀπολείπεσθαι δ' ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν καὶ παρὰ τὸ μὴ διατηρεῖν τὰς ἐκ τῶν θεῶν ὑπομνήσεις καὶ μονονουχὶ διδασκαλίας· [12]τὸ ἀντισχεῖν μοι τὸ σῶμα ἐπὶ τοσοῦτον ἐν τοιούτῳ βίῳ· [13]τὸ μήτε Βενεδίκτης ἅψασθαι μήτε Θεοδότου, ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς πάθεσι γενόμενον ὑγιᾶναι· [14]τὸ χαλεπήναντα πολλάκις Ῥουστίκῳ μηδὲν πλέον πρᾶξαι, ἐφ' ᾧ ἂν μετέγνων· [15]τὸ μέλλουσαν νέαν τελευτᾶν τὴν τεκοῦσαν ὅμως οἰκῆσαι μετ' ἐμοῦ τὰ τελευταῖα ἔτη· [16]τὸ ὁσάκις ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ ἢ εἴς ἄλλο τι χρῄζοντι, μηδέποτε ἀκοῦσαί με, ὅτι οὐκ ἔστι μοι χρήματα, ὅθεν γένηται· [17]καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν, ὡς παρ' ἑτέρου μεταλαβεῖν, μὴ συμπεσεῖν· [18]τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὑτωσὶ μὲν πειθήνιον, οὕτω δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ· [19]τὸ ἐπιτηδείων τροφέων εἰς τὰ παιδία εὐπορῆσαι· [20]τὸ δι' ὀνειράτων βοηθήματα δοθῆναι ἄλλα τε καὶ ὡς μὴ πτύειν αἷμα καὶ μὴ ἰλιγγιᾶν· [21]καὶ † τούτου ἐν Καιήτῃ ὥσπερ χρήσῃ· [22]† ὅπως τε ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν μηδὲ ἀποκαθίσαι ἐπὶ τοὺς † AT

---

1 ἀντιλαβέσθαι A. με Cas.: μὴ. 4 τίς s. l. A. 6 ἐπινοίαις: em. Cas. 7 <ἢ> ἀπολείπεσθαι T. δ' ἔτι scripsi (δὲ ἔτι Schultz): δέ τι <ἐπὶ> A, ἔτι T; δέ τι ἔτι Polak, δέ τι Radermacher; an δέ γ' ἔτι? 17 μὲ extra lin. add. A. 23—24 τὸ τοῦ ἐν K. 'ὥσπερ χρήσῃ' Lofft. 24 ὅπως T, οὕτως A. 25—p. 12, 1 ἐπὶ τοῦ (vel τὸ, ut iam Menag.) συγγράφειν Reiske; malim. ἐπὶ τοῦ γρίφους.

AT *συγγραφεῖς ἢ συλλογισμοὺς ἀναλύειν ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι· [23]πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δεῖται.*

*Τὰ ἐν Κουάδοις πρὸς τῷ Γρανουᾳ. α'.*

# ⟨ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## B̅⟩

ATDC 1. *Ἕωθεν προλέγειν ἑαυτῷ· συντεύξομαι περιέργῳ, ἀχαρίστῳ, ὑβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ· [2]πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν. [3]ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγαθοῦ ὅτι καλὸν καὶ τοῦ κακοῦ ὅτι αἰσχρὸν καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν ὅτι μοι συγγενὴς οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ, ἀλλὰ νοῦ καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· αἰσχρῷ γάρ με οὐδεὶς περιβαλεῖ· οὔτε ὀργίζεσθαι τῷ συγγενεῖ δύναμαι οὔτε ἀπέχθεσθαι αὐτῷ. [4]γεγόναμεν γὰρ πρὸς συνεργίαν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ κάτω ὀδόντων. [5]τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποστρέφεσθαι.*

---

9 Ἕωθέν ⟨φησι⟩ προὔλεγεν C.

---

4 subscriptionem habet T; in A spatium duorum vel trium versuum, in D τοῦ αὐτ' μάρκου; lib. I hic fin. Gat.; cf. quae adn. ad p. 14, 5. 9 ἐντεύξομαι C. 16 ἀπορροίας P. Corssen. 17 περιβάλλει TC (*coniciet* Xyl.) 18 ἀπέχεσθαι A. 20 ⟨τῶν⟩ κάτω TC. 22 ἀποτρέπεσθαι C.

2. Ὅ τί ποτε τοῦτό εἰμι, σαρκία ἐστὶ καὶ πνευμάτιον ATDC καὶ τὸ ἡγεμονικόν. [2]ἄφες τὰ βιβλία· μηκέτι σπῶ· οὐ δέδοται. ἀλλ' ὡς ἤδη ἀποθνήσκων τῶν μὲν σαρκίων καταφρόνησον· λύθρος καὶ ὀστάρια καὶ κροκύφαντος, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν πλεγμάτιον. [3]θέασαι δὲ καὶ τὸ πνεῦμα, ὁποῖόν τί ἐστιν· ἄνεμος, οὐδὲ ἀεὶ τὸ αὐτό, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον καὶ πάλιν ῥοφούμενον. [4]τρίτον οὖν ἐστὶ τὸ ἡγεμονικόν. ὡδὶ ἐπινοήθητι· γέρων εἶ· μηκέτι τοῦτο ἐάσῃς δουλεῦσαι, μηκέτι καθ' ὁρμὴν ἀκοινώνητον νευροσπαστηθῆναι, μηκέτι τὸ εἱμαρμένον ἢ παρὸν δυσχερᾶναι ἢ μέλλον ἀποδύρεσθαι.

3. Τὰ τῶν θεῶν προνοίας μεστά, τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων· πάντα ἐκεῖθεν ῥεῖ. [2]πρόσεστι δὲ τὸ ἀναγκαῖον καὶ τὸ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. παντὶ δὲ φύσεως μέρει ἀγαθόν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν· σῴζουσι δὲ κόσμον, ὥσπερ αἱ τῶν στοιχείων; οὕτως καὶ αἱ τῶν συγκριμάτων

---

† 14 schol. ad Dionis. Chrys. or. XXXII, 15 *σύμφωνον τοῦτο τῷ τοῦ αὐτοκράτορος Μάρκου 'πάντα ἄνωθεν ῥεῖ' σοφῶς εἰρηκότος.*

---

1 *τοῦτο* ⟨*ὅ*⟩ C, Reiske. 2 *ἄφες . . . ἀλλ'* Stichio, *ἄφες . . . ἀποθνήσκων* Leopoldo aliunde invecta esse videntur. 2—3 *οὐ δέδοται, ἀλλ'* T: *non datum est* (*enim licet* Bas.). *Quin* Xyl.; om. D. 4 *λίθος καὶ ὀστράκια* C. *κροκύφαντον* T. 5 *νέβρων* AC. 8 *ὡδὶ* Wilam.: *ᾧ* (*ὧ*) *δὴ* A (in marg. *γρ´ καὶ ᾧ δὲ*) DC, *ὧ δε* T. *ἐπινοήθητι* D: *ἀπονοήθητι* ATC. 9 *τούτῳ* C. 10 *νευροσπαστησθῆναι* T (corr. Bas.): *νευροσπασθῆναι* DC (def. Schmidt), *νευροπασθῆναι* A. 11 *ἀποδύρεσθαι* Rendall (*ὑποδύρεσθαι* Lofft): *ἀποδύεσθαι* AD, *ὑποδύεσθαι* T, *ἀναδύεσθαι* C. 14 *ἄνωθεν* schol. Dion. fort. *προσέτι*. 15 *συμφέρον* T: *συμφέρειν* ADC.

ATDC μεταβολαί. [3]ταῦτά σοι ἀρκείτω εἰ δόγματά ἐστι· τὴν δὲ τῶν βιβλίων δίψαν ῥῖψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλὰ ἵλεως ἀληθῶς καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

ATD 4. Μέμνησο, ἐκ πόσου ταῦτα ἀναβάλλῃ καὶ ὁποσάκις προθεσμίας λαβὼν παρὰ τῶν θεῶν οὐ χρᾷ αὐταῖς. [2]δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι, τίνος κόσμου μέρος εἶ καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόρροια ὑπέστης καὶ ὅτι ὅρος ἐστί σοι περιγεγραμμένος τοῦ χρόνου, ᾧ ἐὰν εἰς τὸ ἀπαιθριάσαι μὴ χρήσῃ, οἰχήσεται καὶ οἰχήσῃ καὶ αὖθις οὐκ ἐξέσται.

5. Πάσης ὥρας φρόντιζε στιβαρῶς ὡς Ῥωμαῖος καὶ ἄρρην τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς καὶ ἀπλάστου σεμνότητος καὶ φιλοστοργίας καὶ ἐλευθερίας καὶ δικαιότητος πράσσειν καὶ σχολὴν ἑαυτῷ ἀπὸ πασῶν τῶν ἄλλων φαντασιῶν πορίζειν. [2]ποριεῖς δέ, ἂν ὡς ἐσχάτην τοῦ βίου ἑκάστην πρᾶξιν ἐνεργῇς ἀπηλλαγμένος ὢν πάσης εἰκαιότητος καὶ ἐμπαθοῦς ἀποστροφῆς ἀπὸ τοῦ αἱροῦντος λόγου καὶ ὑποκρίσεως καὶ φιλαυτίας καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμοιραμένα. [3]ὁρᾷς, πῶς ὀλίγα

---

1 ἀρκείτω . . . (4) θεοῖς D iterantur fol. 354ʳ inter VIII 55 et IV 47 (Db).

---

1 ἀεὶ δόγματα ἔστω TC; καὶ δόγματα ἔστω Rich. 3—4 τῷ θεῷ Db. 5 init. et inscr. l. II in T; in A versus spat. ἀναβάλῃ A, Bas. ὁποσάκις Bas.: ὑποσάκις T; ὅτι ποσάκις AD. 6 προθεσμίαν T. χρῇ D corr. 8 ὅτι om. AD. 9 ἐστί Gat.: ἔστι T, ἔσται AD (*finem futurum* Xyl.) 9—10 ἀπαιθριάσαι μὴ Gat. (*si non impenderis* Bas.): μὴ ἀπαιθριάσαι. 10 καὶ om. AD. οἰχήσῃ <σὺ> Stich. 11 ἐξέσται AD: ἥξεται T. 12 ῥωμαλέος D pr. 13 τῆς om. D. 14 δικαιότητος T: διὰ σκαιότητος A, μὴ διὰ σκαιότητος D. 15 χολὴν A. ἑαυτῷ D: ἑαυτῶν A, σαυτῷ P. 17 προνοῆς D (ἐνεργ s. l.). ἀπηλλαγμένην: correxi (ἀπηλλαγμένος Polak). 18 εἰσκαιότητος A, σκαιότητος D. 19 λόγου om. D.

ἐστίν, ὧν κρατήσας τις δύναται εὔρουν καὶ θεουδῆ (ATD) βιῶσαι βίον· καὶ γὰρ οἱ θεοὶ πλέον οὐδὲν ἀπαιτήσουσι παρὰ τοῦ ταῦτα φυλάσσοντος.

6. Ὕβριζε, ὕβριζε ἑαυτήν, ὦ ψυχή· τοῦ δὲ τιμῆσαι σεαυτὴν οὐκέτι καιρὸν ἕξεις· οὐ † γὰρ ὁ βίος ἑκάστῳ. [2]οὗτος δέ σοι σχεδὸν διήνυσται μὴ αἰδουμένῃ σεαυτήν, ἀλλ' ἐν ταῖς ἄλλων ψυχαῖς τιθεμένῃ τὴν σὴν εὐμοιρίαν.

7. Περισπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα; καὶ σχολὴν πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγαθόν τι καὶ παῦσαι ῥεμβόμενος. [2]ἤδη δὲ καὶ τὴν ἑτέραν περιφορὰν φυλακτέον· ληροῦσι γὰρ καὶ διὰ πράξεων οἱ κεκμηκότες τῷ βίῳ καὶ μὴ ἔχοντες σκοπόν, ἐφ' ὃν πᾶσαν ὁρμὴν καὶ καθάπαξ φαντασίαν ἀπευθύνουσιν.

8. Παρὰ μὲν τὸ μὴ ἐφιστάνειν, τί ἐν τῇ ἄλλου ψυχῇ γίνεται, οὐ ῥᾳδίως τις ὤφθη κακοδαιμονῶν· τοὺς δὲ τοῖς τῆς ἰδίας ψυχῆς κινήμασι μὴ παρακολουθοῦντας ἀνάγκη κακοδαιμονεῖν.

9. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι, τίς ἡ τῶν ὅλων φύσις (ATDC) καὶ τίς ἡ ἐμὴ καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα καὶ ὁποῖόν τι μέρος ὁποίου τοῦ ὅλου οὖσα καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν.

10. Φιλοσόφως ὁ Θεόφραστος ἐν τῇ συγκρίσει τῶν (ATDCM)

---

18 ⟨Ὅτι⟩ τούτων et 23 ⟨Ὅτι⟩ φιλ. C. 23 Theophr. fr. 77 W.

---

1 εὔνουν AD. 4 αὐτήν T. 5 οὐ A: εὖ T, βραχὺς D; ῥεῖ Lofft, Polak, εἷς Boot; malim οὐχ ⟨ἱκανὸς⟩ vel βίος ⟨ἱκανὸς⟩. 8 sign. interrog. ponit D, Cas. καί om. D. 10 ἑτέρων D. 13 ἀπευθυνοῦσιν (-σι A; in D comp.): corr. Gat. 14 ἐφεστηκέναι (om. μὴ) AD. 16 τοῖς om. A, τῆς om. D. 17 κακοδαιμονᾶν AD. 20 ὁποίου T: ὁποῖον AD. 22 τε] σε Cor. 23 φιλοσόφως ATDM pr., C π corr.: φιλοσόφους C, φιλόσοφος M corr.

ATCD(M) ἁμαρτημάτων, | ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειε, φησὶ βαρύτερα εἶναι τὰ κατ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν. [2]ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων ὑφ' ἡδονῆς ἡττώμενος ἀκολαστότερός πως φαίνεται καὶ θη- ATDCM λύτερος ἐν ταῖς ἁμαρτίαις. [3]ὀρθῶς οὖν καὶ φιλοσόφου ἀξίως ἔφη μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μεθ' ἡδονῆς ATDC ἁμαρτανόμενον ἤπερ τὸ μετὰ λύπης· ὅλως τε ὁ μὲν προηδικημένῳ μᾶλλον ἔοικε καὶ διὰ λύπης ἠναγκασμένῳ θυμωθῆναι· ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φερόμενος ἐπὶ τὸ πρᾶξαί τι κατ' ἐπιθυμίαν.

11. Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν καὶ λέγειν καὶ διανοεῖσθαι. [2]τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοὶ εἰσίν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσὶν ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν ἢ προνοίας κενῷ; [3]ἀλλὰ καὶ εἰσὶ καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ATD ἔθεντο· τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν, καὶ τοῦτο ἂν προείδοντο, ἵνα ἐπὶ παντὶ ᾖ τὸ μὴ περιπίπτειν αὐτῷ. [4]ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπον, πῶς ἂν τοῦτο βίον ἀνθρώπου χείρω ποιήσειεν; [5]οὔτε δὲ κατ' ἄγνοιαν οὔτε εἰδυῖα μέν, μὴ δυναμένη δὲ προφυλάξασθαι ἢ διορθώ-

7 οὖν om. M. φιλοσόφου Polak: φιλοσόφως AD, φιλοσοφίας TCM. 9 τὸ om. C. 10 λύπην T. 12 τῷ D. πρᾶξαί τι<να> T. 14 καὶ λέγειν om. T (*et dicenda* Xyl.). δὲ] μὲν C. 16 οὐκ om. A pr. ἢ δὲ εἴ τι T (*sin autem vel* Xyl.). 17 τί . . . (19) ἀνθρωπείων in marg. A, om. C. 21 κακῶν εἴ τι λοιπὸν AD.
22 προείδοντο Nauck, Scaph.: προίδοντο AT, προίδοιντο D. ἐπὶ παντὶ ᾖ Cor.: ἐπῇ πάντῃ. αὐτὸ A. 23 ποιῇ A.

σασθαι ταῦτα ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν, οὔτ' ἂν ATD τηλικοῦτον ἥμαρτεν ἤτοι παρ' ἀδυναμίαν ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. [6]θάνατος δέ γε καὶ ζωή, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονή, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς οὔτε καλὰ ὄντα οὔτε αἰσχρά. οὔτ' ἄρ' ἀγαθὰ οὔτε κακά ἐστι.

12. *Πῶς πάντα ταχέως ἐναφανίζεται*, τῷ μὲν κόσμῳ ATDC αὐτὰ τὰ σώματα, τῷ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷά ἐστι τὰ αἰσθητὰ πάντα καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα ἢ τῷ πόνῳ φοβοῦντα ἢ τῷ τύφῳ διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα καὶ ῥυπαρὰ καὶ εὔφθαρτα καὶ νεκρά, νοερᾶς δυνάμεως ἐφιστάναι· [2]τί εἰσιν οὗτοι, ὧν ATD αἱ ὑπολήψεις καὶ αἱ φωναὶ τὴν εὐδοξίαν . . . .· [3]τί ἐστι τὸ ἀποθανεῖν καὶ ὅτι, ἐάν τις αὐτὸ μόνον ἴδῃ καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι ἢ φύσεως ἔργον· φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστίν· τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστίν, ἀλλὰ καὶ συμφέρον αὐτῇ· [4]πῶς ἅπτεται θεοῦ ἄνθρωπος καὶ κατὰ τί ἑαυτοῦ μέρος καὶ ὅταν πῶς ἔχῃ [διακέηται] τὸ τοῦ ἀνθρώπου τοῦτο μόριον.

---

16 Suid. *ἀποθανεῖν: ἐάν τις . . .* (22) *μέρος.*

---

2 *παρὰ δύναμιν* AD. 5 *γε* om. D. 10 *αἱ* om. AD. 11 *πάντα* om. C. 14 *εἰσιν*] *ἐστιν* A. 15 lacunam not. Xyl.; *παρέχουσι* suppl. Gat. 16 *ἴδῃ* AD, Reiske: *εἰδῇ* T, Suid. 17 *ἐμφανιζόμενα* AD. 19 *ἔργον* ⟨*ἐστίν*,⟩ Suid. 20 *μόνον* om. D. *ἐστίν* om. D. 21 ⟨*τοῦ*⟩ *θεοῦ* D. 22 *αὐτοῦ* T. *πῶς ἔχῃ διακέηται* T, *τίς ἔχη διακαίηται* A, *ἔχη* D (qui postea *μόριον διάκειται οὐδὲν*): *διακέηται* delevi, *ἔχῃ* del. Schultz; *ποσαχῇ διακέηται* Radermacher. 23 *τοῦτο* om. AD.

ATDCM 13. *Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχο-*
ATDO *μένου | καὶ τὰ ἔνερθε γᾶς, φησίν, ἐρευνῶντος καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δέ, ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι καὶ τοῦτον γνησίως θεραπεύειν. [2]θεραπεία δὲ αὐτοῦ καθαρὸν πάθους διατηρεῖν καὶ εἰκαιότητος καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. [3]τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα διὰ τὴν ἀρετήν, τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν, ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν λευκὰ καὶ μέλανα.*

14. *Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον ἢ τοῦτον, ὃν ζῇ, οὐδὲ ἄλλον ζῇ ἢ ὃν ἀποβάλλει. [2]εἰς ταὐτὸν οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. [3]τὸ γὰρ παρὸν πᾶσιν ἴσον καὶ τὸ ἀπολλύμενον οὐκ ἴδιον*

---

1 ⟨*Ὅτι*⟩ *οὐδὲν* C. Suid. (I) *δαιμων: οὐδὲν . . .* (12) *μέλανα.* 2 Plato Theaet. 173 E (Pindari fragm. 292 *B*). 5 Suid. (II) *εἰκαῖον: θεραπεία . . . γινόμενα.* 13 Suid. *ἀκέραιον: ἐκ τῆς Μάρκου Ἀντωνίνου συγγραφῆς· κἂν* . . . (p. 19, 3) *ἀφέλοιτο.*

---

1 *ἐμπεριερχομένου* C (*ἐμπεριεχομένου* C *π.*), *περιερχομένου* D, Suid. 2 *τὰ ἔνερθε* scripsi: *τέ νερθε* A, *τὰ νέρθε* D, Suid., *τὰ νέρθεν* TC. *γῆς* Suid. 3 *πλησίων* A. *τεκμάρσεων* A corr. D, Suid. 4 *αἰσθανομένου* C et (om. *δέ*) Suid. 7—8 *τὴν . . . γινομένην* Suid. II cod. V. 7 *θεοῦ* Suid. I, II. 8 *θεοῦ* Suid. *αἰδέσιμα . . . ἐξ*] *καὶ* Suid. *δι' ἀρετὴν* TC. 9 *ἐξ ἀνθρώπων*] *ἐξῶν* A. *φίλα* A (*ι* corr.), *φίλια* Suid. 10 *ἐλεεινὰ* om. Suid. 11 *οὐκ* om. Suid. *πήρωσις* TC: *πόρωσις* A (ut vid.) D pr., *πάρωσις* fort. A, Suid. cod. A, *πώρωσις* Suid. codd. ceteri, D corr. 12 *τοῦ διακρίνειν* TC: *τὸ διακρίνειν* AD, om. Suid. ⟨*τὰ*⟩ *λευκὰ* TC. *μέλαινα* T et fort. A pr. 14 *οὐδεὶς* s. l. D. 15 *οὐδὲ*] *ἢ* Suid. *ἢ* (*ἢ* om. cod. A) *ὃν* ⟨*ἂν*⟩ *ἀποβάλλῃ* Suid. *ἀποβάλλει* C, Suid. cod. A. 16 *ταὐτὸν* ADC, Suid.: *τοῦτο* T, *ταὐτὸ* Bas. (*idem* Xyl.). 17 *ἴσον*: corr. Cor. ⟨*εἰ*⟩ *καὶ* T. *ἴδιον* scripsi: *ἴσον* (*ἴσοι* AD). *οὖν ἴσον* Gat.

καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. ATDC
[4]οὔτε γὰρ τὸ παρῳχηκὸς οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν
τις. ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τοῦτό τις αὐτοῦ ἀφέλοιτο;
[5]τούτων οὖν τῶν δύο ἀεὶ δεῖ μεμνῆσθαι· ἑνὸς μέν, ὅτι ATD
πάντα ἐξ ἀιδίου ὁμοειδῆ καὶ ἀνακυκλούμενα καὶ οὐδὲν
διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν ἢ ἐν διακοσίοις ἢ
ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται· ἑτέρου δέ, ὅτι
καὶ ὁ πολυχρονιώτατος καὶ ὁ τάχιστα τεθνηξόμενος τὸ
ἴσον ἀποβάλλει. [6]τὸ γὰρ παρόν ἐστι μόνον, οὗ στερί-
σκεσθαι μέλλει, εἴπερ γε ἔχει καὶ τοῦτο μόνον, καὶ ὃ μὴ
ἔχει τις, οὐκ ἀποβάλλει.

15. Ὅτι πᾶν ὑπόληψις. δῆλα μὲν γὰρ τὰ πρὸς τὸν AT
Κυνικὸν Μόνιμον λεγόμενα· δῆλον δὲ καὶ τὸ χρήσιμον
τοῦ λεγομένου, ἐάν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ
ἀληθοῦς δέχηται.

16. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ μάλιστα ATD
μέν, ὅταν ἀπόστημα καὶ οἷον φῦμα τοῦ κόσμου, ὅσον
ἐφ᾽ ἑαυτῇ, γένηται. [2]τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γι-
νομένων ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει ⟨αἱ⟩
ἑκάστου τῶν λοιπῶν φύσεις περιέχονται. [3]ἔπειτα δέ,
ὅταν ἄνθρωπόν τινα ἀποστραφῇ ἢ καὶ ἐναντία φέρηται
ὡς βλάψουσα, οἷαί εἰσιν αἱ τῶν ὀργιζομένων. [4]τρίτον
ὑβρίζει ἑαυτήν, ὅταν ἡσσᾶται ἡδονῆς ἢ πόνου. [5]τέταρ-
τον, ὅταν ὑποκρίνηται καὶ ἐπιπλάστως καὶ ἀναλήθως τι

---

12 Menandri fragm. 249 Kock.

---

1 *ἀκέραιον* AD, Suid. in lemm. 2 malim *οὔτ᾽ ἄρα*. *ἀποβάλοι* D et C *α β γ λ*. 3 *ἄν τις τοῦτο* TC. 4 *ἀεὶ δεῖ* scripsi: *ἂν* AD, *δεῖ* T. 5—6 *μηδὲν διαφέρειν* AD. 10 *ὅπερ* T (*quando* Xyl.). 12 *πάνθ᾽* Lofft. 13 fort. *Μονίμου*. 18 *ἑαυτῇ* D corr.: *ἑαυτῷ* ATD pr. 19 fort. *ἧ*. suppl. Cor. 20 *ἕκαστα* D corr. 21 *ἄνθρωπον* s. l. D.

ATD ποιῇ ἢ λέγῃ. [6]πέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆς καὶ ὁρμὴν ἐπ' οὐδένα σκοπὸν ἀφιῇ, ἀλλὰ εἰκῇ καὶ ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ, δέον καὶ τὰ μικρότατα κατὰ ATDM τὴν ἐπὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι· τέλος δὲ λογικῶν ζῴων τὸ ἕπεσθαι τῷ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

ATDCM 17. Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος στιγμή, ἡ δὲ οὐσία ῥέουσα, ἡ δὲ αἴσθησις ἀμυδρά, ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις εὔσηπτος, ἡ δὲ ψυχὴ ῥόμβος, ἡ δὲ ATDC τύχη δυστέκμαρτον, ἡ δὲ φήμη ἄκριτον· [2]συνελόντι δὲ εἰπεῖν, πάντα τὰ μὲν τοῦ σώματος ποταμός, τὰ δὲ τῆς ψυχῆς ὄνειρος καὶ τῦφος, ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία, ἡ δὲ ὑστεροφημία λήθη. [3]τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. [4]τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῇ ποιοῦντα μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ATD ποιῆσαί τι ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ATDM ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα ὡς οὐδὲν ἄλλο ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῷον συγκρίνεται. [5]εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων

---

7 ⟨Ὅτι⟩ τοῦ C.

---

1 ἢ ⟨τι⟩ AD. 2 ἀφίῃ T, ἀφῇ D. 7 χρόνος ⟨βραχύς⟩ D. στιγμή . . . ἀμυδρά om. AD. 9 ῥόμβος Gat.: ῥομβός Tox.; ῥεμβὸς ADCM, Tox. marg. (sec. Xyl.), Bas. 10 τύχη] ψυχὴ A. 13 ἡ ὑστεροφημία δὲ T. 17 ἄλλο D. 18 ἔτι] ὅτι A. 21 ὡς D, Bas. (*quippe* Xyl.): εἰς ATM. ἢ λύσιν] ἡ λύσις A et (ἢ corr.) D (in cuius marg. ἐστὶ). 23 οὐδὲν D.

*μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ* ATDM *κακὸν κατὰ φύσιν.*

*Τὰ ἐν Καρνούντῳ.*

## ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ
## ΑΥΤΟΚΡΑΤΟΡΟΣ
## ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Γ

1. *Οὐχὶ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκά-* ATDCM *στην ἡμέραν ἀπαναλίσκεται ὁ βίος καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται, ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι, εἰ ἐπὶ πλέον βιώῃ τις, ἐκεῖνό γε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων καὶ* ATDM *τῆς θεωρίας τῆς συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τε θείων καὶ τῶν ἀνθρωπείων.* [2]*ἐὰν γὰρ παραληρεῖν ἄρ-* ATD *ξηται, τὸ μὲν διαπνεῖσθαι καὶ τρέφεσθαι καὶ φαντάζεσθαι καὶ ὁρμᾶν καὶ ὅσα ἄλλα τοιαῦτα οὐκ ἐνδεήσει· τὸ δ' ἑαυτῷ χρῆσθαι καὶ τοὺς τοῦ καθήκοντος ἀριθμοὺς ἀκριβοῦν καὶ τὰ προφαινόμενα διαρθροῦν καὶ περὶ αὐτοῦ τοῦ, εἰ ἤδη ἐξακτέον αὑτόν, ἐφιστάνειν καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρῄζει, προαποσβέννυται.* [3]*χρὴ οὖν ἐπείγεσθαι οὐ μόνον τῷ ἐγγυτέρω τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν.*

---

3 subscriptio in T: om. cett. (in A spatium duorum versuum). 11 *εὔδηλον* D pr. *ἐξαρέσκει* A. 14 *ἀνθρωπίνων* M. 15 *διυπνεῖσθαι* A, *δειπνεῖσθαι* D. 17 *δ' ἑαυτῷ* scripsi: *δὲ ἑαυτῷ* T, *δὲ αὐτῷ* A, *δὲ* (*καὶ*) *αὐτῷ* D. 20 *χρήζει* D. 22 *καὶ* om. AD m 1 (add. m 2). *τὸ* om. A.

ATD 2. Χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἐπιγινόμενα τοῖς φύσει γινομένοις ἔχει τι εὔχαρι καὶ ἐπαγωγόν. [2]οἷον ἄρτου ὀπτωμένου παραρρήγνυταί τινα μέρη καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιίας ἔχοντα ἐπιπρέπει πως καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. [3]πάλιν τε τὰ σῦκα, ὁπότε ὡραιότατά ἐστι, κέχηνεν. [4]καὶ ἐν ταῖς δρυπεπέσιν ἐλαίαις αὐτὸ τὸ ἐγγὺς τῇ σήψει ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. [5]καὶ οἱ στάχυες κάτω νεύοντες καὶ τὸ τοῦ λέοντος ἐπισκύνιον καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρὸς καὶ πολλὰ ἕτερα κατ' ἰδίαν εἴ τις σκοποίη, πόρρω ὄντα τοῦ εὐειδοῦς ὅμως διὰ τὸ τοῖς φύσει γινομένοις ἐπακολουθεῖν συνεπικοσμεῖ καὶ ψυχαγωγεῖ, ὥστε εἴ τις ἔχει πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν συμβαινόντων ἡδέως πως ἰδίᾳ συνίστασθαι. [6]οὗτος δὲ καὶ θηρίων ἀληθῆ χάσματα οὐχ ἧσσον ἡδέως ὄψεται ἢ ὅσα γραφεῖς καὶ πλάσται μιμούμενοι δεικνύουσιν· καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον τοῖς ἑαυτοῦ σώφροσιν ὀφθαλμοῖς ὁρᾶν δυνήσεται· καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανά, μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ προσπεσεῖται.

---

3 ἄρτι D pr. 5 ἐπιτρέπει A (ει corr.). 8 δρυπεπέσι Xyl. in adn., Bas.: δρυπέπεσιν A, δρυπέπισι Tox. δρυπετέσι (quod in T legitur) in marg. adnotato, δρυπετέσιν D. 9 καὶ οἱ στάχυες AD: οἱ στάχυες δὲ T. 14 ἔχοι T. 17 ἰδίᾳ συνίστασθαι Lofft: διασυνίστασθαι AT, συνδιανίστασθαι D. οὕτως T. 22 πιθανά] δυνατὰ D pr. 23 προπεσεῖται: em. Cas., Gat.

3. Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος αὐτὸς νοσήσας ἀπέθανεν. [2]οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν, εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. [3]Ἀλέξανδρος καὶ Πομπήιος καὶ Γάιος Καῖσαρ ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. [4]Ἡράκλειτος περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας ὕδατος τὰ ἐντὸς πληρωθεὶς βολβίτῳ κατακεχρισμένος ἀπέθανεν. [5]Δημόκριτον δὲ οἱ φθεῖρες, Σωκράτην δὲ ἄλλοι φθεῖρες ἀπέκτειναν. [6]τί ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης· ἔκβηθι. εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ· εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος καὶ λατρεύων τοσούτῳ χείρονι τῷ ἀγγείῳ † ἡ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος. ATDC

4. Μὴ κατατρίψῃς τὸ ὑπολειπόμενον τοῦ βίου μέρος ἐν ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τὴν ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ (ἤτοι γὰρ ἄλλου ἔργου στέρῃ), τουτέστι φανταζόμενος, τί ὁ δεῖνα πράσσει καὶ τίνος ἕνεκεν καὶ τί λέγει καὶ τί ἐνθυμεῖται καὶ τί τεχνάζεται καὶ ὅσα τοιαῦτα ποιεῖ ἀπορρέμβεσθαι τῆς τοῦ ATD

---

1 ⟨Ὅτι⟩ ἱπποκράτης C. 10 Democritum hic et Pherecydem Antoninum 'memoria lapsum' confudisse iam Xyl. perspexit in Bas. adn.; cf. Diels Fragm. der Vorsokr.[2] 356.

---

1 αὐτὸς om. T (*ipse* Xyl.) C. 4 καίσαρ AD, ⟨καὶ⟩ καῖσαρ C. 14 ἤ (ἧ Bas.) περίεστι TC, ῆ (corr. ἤ) περίεστι A, ἣ πέρ ἐστι D, ἥπερ ἐστὶ Reiske; latet gravior corruptela (exspectes ἣ ᾧ περιέκειτο ὑπηρετοῦν). 17 ὑπολειπόμενον D corr.: ὑπολιπόμενον ATD pr. 19—20 ἤτοι . . . στέρῃ om. D, ut parenthesin uncis inclusit Leop.; at vix sanus locus. 22 ποιεῖ om. AD. τοῦ om. A.

ATD ἰδίου ἡγεμονικοῦ παρατηρήσεως. [2]χρὴ μὲν οὖν καὶ τὸ εἰκῇ καὶ μάτην ἐν τῷ εἱρμῷ τῶν φαντασιῶν περιίστα- ATDC σθαι, πολὺ δὲ μάλιστα τὸ περίεργον καὶ κακόηθες· [3]καὶ ἐθιστέον ἑαυτὸν μόνα φαντάζεσθαι, περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο 'τί νῦν διανοῇ;', μετὰ παρρησίας παραχρῆμα ἂν ἀποκρίναιο, ὅτι τὸ καὶ τό, ὡς ἐξαυτῆς εὐθὺς δῆλα εἶναι, ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ καὶ ζῴου κοινωνικοῦ καὶ ἀμελοῦντος ἡδονικῶν ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων ἢ φιλονεικίας τινὸς ἢ βασκανίας καὶ ὑποψίας ἢ ἄλλου τινός, ἐφ' ᾧ ἂν ἐρυθριάσειας ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες. [4]ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος οὐκ ἔτι ὑπερτιθέμενος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι ἱερεύς τις καὶ ὑπουργὸς θεῶν χρώμενος καὶ τῷ ἔνδον ἱδρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους καταβληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα πάντα, μὴ πολλάκις δὲ μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει ἢ πράσσει ἢ διανοεῖται. [5]μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν † ἕξει

---

1 καὶ om. C. 5 τί νῦν διανοῇ om. D pr. 6 ἐξαυτῆς scripsi: ἐξ αὐτῆς D pr., ἐξ αὐτῶς A, ἐξ αὐτῶν TD corr. 8 εἰ καθάπαξ AD. 10 ἢ ἄλλου . . . ἐξηγούμενος om. C βνπ. ἐρυθριάσαι C α. 11 νῷ TDC: ᾧ A et C π. ὁ alt. om. D. 12 ὡς om. C, del. Menag. τίς ⟨ἐστι⟩ D. 13 καὶ] δαιμονίῳ Lofft (malim δαίμονι), κυρίῳ Kronenberg; an κυριεύοντι? 14 αὐτοῦ T: αὐτῶ AC, αὐτῷ D. 17 τοῦ T: τῷ AD, τὸ C. 18 βεβλαμμένον AD et C π. πάθος AD. 19 τῆς om. C. ὑπονεμόνενον C. 21 φανταζομένου AD pr. ἢ ⟨τί⟩ C. 22 μόνον γὰρ εἶναι ἑαυτοῦ C. ἕξει ADC: ἔχει T; exspectes ἐξεγείρει vel ἐξάγει.

καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐν- ATDC νοεῖ κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται. [6]ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. [7]μέμνηται δὲ καὶ ὅτι συγγενὲς πᾶν ATD τὸ λογικὸν καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστίν, δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνων. [8]οἱ δὲ μὴ οὕτως βιοῦντες ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, μεμνημένος διατελεῖ. [9]οὐ τοίνυν οὐδὲ τὸν παρὰ τῶν τοιούτων ἔπαινον ἐν λόγῳ τίθεται, οἵγε οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται.

5. Μήτε ἀκούσιος ἐνέργει μήτε ἀκοινώνητος μήτε ἀνεξέταστος μήτε ἀνθελκόμενος· μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω· μήτε πολυρρήμων μήτε πολυπράγμων ἔσο. [2]ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζῴου ἄρρενος καὶ πρεσβύτου καὶ πολιτικοῦ καὶ Ῥωμαίου καὶ ἄρχοντος ἀνατεταχότος ἑαυτόν, οἷος ἂν εἴη τις ATDC περιμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος μήτε ἀνθρώπου τινὸς μάρτυρος. [3]ἐν δὲ ATD τὸ φαιδρὸν καὶ τὸ ἀπροσδεὲς ἔξωθεν ὑπηρεσίας καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρέχουσιν. [4]ὀρθὸν οὖν ATDC εἶναι χρή, οὐχὶ ὀρθούμενον.

---

18 ⟨Τοιοῦτος ἔσο⟩ οἷος C. 19 Suid. ἀνακλητικόν: καὶ Μάρκος Ἀντωνῖνός φησιν· ἔσο ἀναμένων . . . μάρτυρος (idem in v. εὔλυτος). 22—23 Suid. ὀρθός: Μάρκος· ὀρθὸν δεῖ εἶναι καὶ μὴ ὀρθούμενον.

---

3 πεπεῖσθαι AD. ἡ] εἰ A. 4 τε] τι D. 8 μόνον T. 10 οἷοι, in marg. γὰρ D. 11 τῶν om. AD. 12 τίθενται D, in quo οἵγε . . . ἀρέσκονται om. 19 παραμένων C, ἀναμένων Suid. εὔλυτος ⟨ὢν⟩ Zon. 20 ἐν T: ἓν AD; ἔτι Morus. 21 φαινόμενον AD. ⟨τῆς⟩ ἔξωθεν T.

ATD 6. *Εἰ μὲν κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρείας καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου, ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ [ἐν] τῇ εἱμαρμένῃ ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις· εἰ τούτου, φημί, κρεῖσσόν τι ὁρᾷς, ἐπ' ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς τραπόμενος τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. [2]εἰ δὲ μηδὲν κρεῖττον φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος τάς τε ἰδίας ὁρμὰς ὑποτεταχότος ἑαυτῷ καὶ τὰς φαντασίας ἐξετάζοντος καὶ τῶν αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφειλκυκότος καὶ τοῖς θεοῖς ὑποτεταχότος ἑαυτὸν καὶ τῶν ἀνθρώπων προκηδομένου· [3]εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα καὶ εὐτελέστερα εὑρίσκεις, μηδενὶ χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέψας ἅπαξ καὶ ἀποκλίνας οὐκ ἔτι ἀπερισπάστως τὸ ἀγαθὸν ἐκεῖνο τὸ ἴδιον, τὸ σὸν προτιμᾶν δυνήσῃ· [4]ἀντικαθῆσθαι γὰρ τῷ λογικῷ καὶ πολιτικῷ ἀγαθῷ οὐ θέμις οὐδ' ὁτιοῦν ἑτερογενές, οἷον τὸν παρὰ τῶν πολλῶν ἔπαινον ἢ ἀρχὰς ἢ πλοῦτον ἢ ἀπολαύσεις ἡδονῶν. [5]πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἐναρμόζειν δόξῃ, κατεκράτησεν ἄφνω καὶ παρήνεγκεν. [6]σὺ δέ, φημί, ἁπλῶς καὶ ἐλευθέρως ἑλοῦ τὸ κρεῖττον καὶ τούτου ἀντέχου· κρεῖττον δὲ τὸ συμφέρον. [7]εἰ μὲν τὸ ὡς λογικῷ, τοῦτο τήρει· εἰ δὲ τὸ ὡς ζῴῳ, ἀπόφηναι καὶ*

11 Plato Tim. 61 D.

2 *ἀνδρίας* TD corr. 3 *ἑαυτὴν* A, *αὐτὴν* D. *ἐν* om. AD. 5 *ἐν* del. Gat. 6 *τοῦτο* A, *τούτων* D. *κρεῖττόν τι* Cor. 10 *ἐξετάζοντας* A. ⟨*τῆς*⟩ *τῶν* D corr. 11 *πείσεως* AD. 16 ⟨*καὶ*⟩ *τὸ σὸν* T; fortasse corruptela latet. 17 *ποιητικῷ*: em. Gat. 19 *τῶν* om. T. 22 *ἐλευθερίως* T. 24 *ἀπόφηνε* AD.

ἀτύφως φύλασσε τὴν κρίσιν· μόνον ὅπως ἀσφαλῶς τὴν ATD ἐξέτασιν ποιήσῃ.

7. Μὴ τιμήσῃς ποτὲ ὡς συμφέρον σεαυτοῦ, ὃ ἀναγκά- AT σει σέ ποτε τὴν πίστιν παραβῆναι, τὴν αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος τοίχων καὶ παραπετασμάτων δεομένου. [2]ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν καὶ δαίμονα καὶ τὰ ὄργια τῆς τούτου ἀρετῆς προελόμενος τραγῳδίαν οὐ ποιεῖ, οὐ στενάζει, οὐκ ἐρημίας, οὐ πολυπληθείας δεήσεται· τὸ μέγιστον, ζήσει μήτε διώκων μήτε φεύγων. [3]πότερον δὲ ἐπὶ πλέον διάστημα χρόνου τῷ σώματι περιεχομένῃ τῇ ψυχῇ ἢ ἐπ' ἔλασσον χρήσεται, οὐδ' ὁπωστιοῦν αὐτῷ μέλει· [4]κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὐλύτως ἄπεισιν ὡς ἄλλο τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργησείων, τοῦτο μόνον παρ' ὅλον τὸν βίον εὐλαβούμενος τὸ τὴν διάνοιαν ἔν τινι ἀνοικείῳ νοεροῦ πολιτικοῦ ζῴου τροπῇ γενέσθαι.

8. Οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου καὶ ἐκκεκαθαρμένου πυῶδες οὐδὲ μὴν μεμολυσμένον οὐδὲ ὕπουλον εὕροις. [2]οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρωμένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τὸν τραγῳδὸν πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι ἀπαλλάσσεσθαι. [3]ἔτι δὲ οὐδὲν δοῦλον οὐδὲ κομψὸν οὐδὲ προσδεδεμένον οὐδὲ ἀπεσχισμένον οὐδὲ ὑπεύθυνον οὐδὲ ἐμφωλεῦον.

9. Τὴν ὑποληπτικὴν δύναμιν σέβε· ἐν ταύτῃ τὸ πᾶν, ἵνα ὑπόληψις τῷ ἡγεμονικῷ σου μηκέτι ἐγγένηται ἀνα-

---

1 φύλασσαι A corr.; in D compend. 8 προσελόμενος A. 9 πολυπληθίας A. 11—12 περιεχομένην τὴν ψυχὴν A. 12 ὁτιοῦν T. 15 ἐνεργησείων Radermacher: ἐνεργήσειν A, ἐνεργήσεων T; ἐνεργήσων Cas. (*ut si . . . conferat* Xyl.) 17 ἀνοικείω A: τῶν οἰκείων T. νοεροῦ <καὶ> Stich. 24 ἀπεχισμένον A. 25 σέβε A (β corr.): σέβου T. 26 ἀνακόλουθον T.

AT κόλουθος τῇ φύσει καὶ τῇ τοῦ λογικοῦ ζῴου κατασκευῇ. [2]αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν καὶ τὴν τοῖς θεοῖς ἀκολουθίαν.

10. Πάντα οὖν ῥίψας ταῦτα μόνα τὰ ὀλίγα σύνεχε ATC καὶ ἔτι συμ|μνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο τὸ ἀκαριαῖον· τὰ δ' ἄλλα ἢ βεβίωται ἢ ἐν ἀδήλῳ. [2]μικρὸν μὲν οὖν ὃ ζῇ ἕκαστος, μικρὸν δὲ τὸ τῆς γῆς AT γωνίδιον, ὅπου ζῇ· μικρὸν δὲ καὶ ἡ μηκίστη ὑστεροφημία καὶ αὕτη δὲ κατὰ διαδοχὴν ἀνθρωπαρίων τάχιστα τεθνηξομένων καὶ οὐκ εἰδότων οὐδ' ἑαυτούς, οὔτιγε τὸν πρόπαλαι τεθνηκότα.

11. Τοῖς δὲ εἰρημένοις παραστήμασιν ἓν ἔτι προσέστω, τὸ ὅρον ἢ ὑπογραφὴν ἀεὶ ποιεῖσθαι τοῦ ὑποπίπτοντος φανταστοῦ, ὥστε αὐτό, ὁποῖόν ἐστι κατ' οὐσίαν, γυμνὸν ὅλον δι' ὅλων διῃρημένως βλέπειν καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ καὶ τὰ ὀνόματα αὐτῶν ἐκείνων, ἐξ ὧν συνεκρίθη καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν παρ' ἑαυτῷ. [2]οὐδὲν γὰρ οὕτως μεγαλοφροσύνης ποιητικόν, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν <ἐν> τῷ βίῳ ὑποπιπτόντων δύνασθαι καὶ τὸ ἀεὶ οὕτως εἰς αὐτὰ ὁρᾶν, ὥστε συνεπιβάλλειν, ὁποίῳ τινὶ τῷ κόσμῳ ὁποίαν τινὰ τοῦτο χρείαν παρεχόμενον τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον πολίτην ὄντα πόλεως τῆς ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὥσπερ οἰκίαι εἰσίν· [3]τί ἐστι καὶ ἐκ τίνων συγκρίνεται καὶ πόσον χρόνον πέφυκε παραμένειν τοῦτο τὸ τὴν φαντασίαν μοι νῦν ποιοῦν καὶ

---

2 ἀπροσπτωσίαν A. 4 μόνον T. 5 μνημόνευε AC. 7 μικρὸν μὲν A (ι corr.). 9 αὐτὴ T. 10 οὔτε γε: em. Cor.; οὐδέ γε Reiske. 12 παραιτήμασιν A. 16 ἑαυτοῦ A. αὐτῶν ἐκείνων scripsi: αὐτῶν A, ἐκείνων T. 19 supplevi. 24 οἰκεῖαι A; malim ὡς περιοικίαι. 25 συγκέκριται T.

τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία, οἷον ἡμερότητος, ἀνδρείας, AT ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. [4]διὸ δεῖ ἐφ' ἑκάστου λέγειν· τοῦτο μὲν παρὰ θεοῦ ἥκει, τοῦτο δὲ κατ' αὐτὴν τὴν σύλληξιν καὶ τὴν συμμηρυομένην σύγκλωσιν καὶ τὴν τοιαύτην σύντευξίν τε καὶ τύχην, τοῦτο δὲ παρὰ τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντος μέντοι, ὅ τι αὐτῷ κατὰ φύσιν ἐστίν. [5]ἀλλ' ἐγὼ οὐκ ἀγνοῶ· διὰ τοῦτο χρῶμαι αὐτῷ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον εὔνως καὶ δικαίως· ἅμα μέντοι τοῦ κατ' ἀξίαν ἐν τοῖς μέσοις συστοχάζομαι.

12. Ἐὰν τὸ παρὸν ἐνεργῇς ἑπόμενος τῷ ὀρθῷ λόγῳ ἐσπουδασμένως, ἐρρωμένως, εὐμενῶς καὶ μηδὲν παρεμπορευόμενος, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀποδοῦναι δέοι· ἐὰν τοῦτο συνάπτῃς μηδὲν περιμένων μηδὲ φεύγων, ἀλλὰ τῇ παρούσῃ κατὰ φύσιν ἐνεργείᾳ καὶ τῇ, ὧν λέγεις καὶ φθέγγῃ, † ἡρωϊκῇ ἀληθείᾳ ἀρκούμενος, εὐζωήσεις. [2]ἔστι δὲ οὐδεὶς ὁ τοῦτο κωλῦσαι δυνάμενος.

13. Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα καὶ σιδήρια πρόχειρα ATC ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων, οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι καὶ πᾶν καὶ τὸ μικρότατον οὕτω ποιεῖν, ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον. [2]οὔτε γὰρ ἀνθρώπινόν τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα συναναφορᾶς εὖ πράξεις οὔτ' ἔμπαλιν.

---

3 διόδι A (sed ι alt. corr.). 4 κατ' αὐτὴν A: κατὰ T. 7 ὅτι <τὶ> T. 11 Κἂν A. 12 μηδὲν παρεμπορευόμενος Iunius: μηδὲν παρεμπόρευμα T, μηδένπερ ἐμπόρευμα A; μηδὲν παρεμπορεύσῃ Cas. (-εύῃ Gat.). 13 <ἄλλο>, ἀλλὰ Lofft. 14 τηρεῖς A. ὡσεὶ A. ἤδη T: εἰ A. 16 λέγῃς A (η corr.). 17 εὐροικῇ Rendall; an κυρωτικῇ? 20 πρὸ A. 21 πρὸς om. AC. 22 σμικρώτατον A. 24 συναμφορᾶς C βν συνεμφορᾶς C γ(?)π.

ATC 14. *Μηκέτι πλανῶ· οὔτε γὰρ τὰ ὑπομνημάτιά σου μέλλεις ἀναγινώσκειν οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογάς, ἃς εἰς τὸ γῆρας ἑαυτῷ ἀπετίθεσο· σπεῦδε οὖν εἰς σθένος καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς σαυτῷ βοήθει, εἴ τί σοι μέλει σεαυτοῦ, ἕως ἔξεστιν.*

AT 15. *Οὐκ ἴσασι, πόσα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾶν τὰ πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίνεται, ἀλλ' ἑτέρᾳ τινὶ ὄψει.*

ATM 16. *Σῶμα, ψυχή, νοῦς· σώματος αἰσθήσεις, ψυχῆς ὁρμαί,* AT *νοῦ δόγματα. [2]τὸ μὲν τυποῦσθαι φανταστικῶς καὶ τῶν βοσκημάτων, τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς καὶ τῶν θηρίων καὶ τῶν ἀνδρογύνων καὶ Φαλάριδος καὶ Νέρωνος· τὸ δὲ νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα καὶ τῶν θεοὺς μὴ νομιζόντων καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων καὶ τῶν . . . . . . ποιούντων, ἐπειδὰν κλείσωσι τὰς θύρας. [3]εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τοῦ ἀγαθοῦ φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα καὶ συγκλωθόμενα αὐτῷ· τὸν δὲ ἔνδον ἐν τῷ στήθει ἱδρυμένον δαίμονα μὴ φύρειν μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διατηρεῖν, κοσμίως ἑπόμενον θεῷ, μήτε φθεγγόμενόν τι παρὰ τὰ ἀληθῆ μήτε ἐνεργοῦντα παρὰ τὰ δίκαια. [4]εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες ἄνθρωποι, ὅτι*

---

1 *πλανῶν* A. *ὑπομνήματά* C. 4 *ἑαυτῷ* scripsi: *σαυτῷ* T, *σεαυτῷ* C, *αὐτῷ* A. 5 *εἰς σθένος* scripsi (*ἢ σθένεις* Radermacher): *εἰ θέλεις* AC, *εἰς θέλος* Tox., *ἐς τέλος* T, *εἰς τέλος* Xylander in adn. 6 *σαυτοῦ* A. *ὡς* T (*dum* Xyl.). 9 *ὀφθαλμὸς* A. 12 *νευροσπατεῖσθαι* A. 14 ⟨*τὸν*⟩ *νοῦν* T. 16 *ἐγκαταλιπόντων* A. lacunam not. Xyl. (in vers. *qui nihil non turpe perpetrant*); *ὁτιοῦν* suppl. Gat., *πάντα* ann. Lugd., *πᾶν ὁτιοῦν* Cor., *πᾶν* Wilamowitz; fort. *τί οὐ*. 20 *ἱδρυόμενον* A. 22 ⟨*ὡς*⟩ *θεῷ* T. 23 *περὶ* bis A.

ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαί- AT νει τινὶ τούτων οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρόν, ἡσύχιον, εὔλυτον, ἀβιάστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

## ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Δ

1. Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἕστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς τὸ δυνατὸν διδόμενον μετατίθεσθαι ῥᾳδίως. [2] ὕλην γὰρ ἀποτεταγμένην οὐδεμίαν φιλεῖ, ἀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ⟨προ⟩ηγούμενα μεθ' ὑπεξαιρέσεως, τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ, ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρός τις λύχνος ἐσβέσθη· τὸ δὲ λαμπρὸν πῦρ τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφορούμενα καὶ κατηνάλωσεν καὶ ἐξ αὐτῶν ἐκείνων ἐπὶ μεῖζον ἤρθη.

2. Μηδὲν ἐνέργημα εἰκῇ μηδὲ ἄλλως ἢ κατὰ θεώρη- ATD μα συμπληρωτικὸν τῆς τέχνης ἐνεργείσθω.

3. Ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν, ἀγροικίας καὶ αἰγι- ATDC αλοὺς καὶ ὄρη· εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα

22 ⟨Ὅτι⟩ ἀναχωρήσεις C.

3 ἐφ' ᾧ A. 4 μηρία A. 6 nullum intervallum in A. 11 fort. δυνατὸν delendum. δυνατὸν ⟨καὶ⟩ T. 13 suppl. Gat. (*proposita* Xyl.). 16—17 δὲ λαμπρὸν T: διαλαπρὸν A. 22 αὑτοῖς C nonn.: αὐτοῖς ATC rell., τινὲς D. 23 εἴωθας . . . ποθεῖν om. D.

ATDC ποθεῖν. [2]ὅλον δὲ τοῦτο ἰδιωτικώτατόν ἐστιν ἐξὸν ἧς ἂν ὥρας ἐθελήσῃς εἰς ἑαυτὸν ἀναχωρεῖν· οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον οὔτε ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν, μάλισθ᾽ ὅστις ἔχει ἔνδον τοιαῦτα, εἰς ἃ ἐγκύψας ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω ἢ εὐκοσμίαν. [3]συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν καὶ ἀνανέου σεαυτόν· βραχέα δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα ἀρκέσει εἰς τὸ πᾶσαν αὐλὴν ἀποκλεῖσαι καὶ ἀποπέμψαι σε μὴ δυσχεραίνοντα ἐκείνοις, ἐφ᾽ ἃ
ATD ἐπανέρχῃ. [4]τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀνθρώπων
ATDM κακίᾳ; ἀναλογισάμενος τὸ κρίμα, ὅτι | τὰ λογικὰ ζῷα
ATD ἀλλήλων ἕνεκεν γέγονεν | καὶ ὅτι τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης καὶ ὅτι ἄκοντες ἁμαρτάνουσι καὶ πόσοι ἤδη διεχθρεύσαντες, ὑποπτεύσαντες, μισήσαντες, διαδορατισθέντες ἐκτέτανται, τετέφρωνται, παύου ποτέ. [5]ἀλλὰ καὶ τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις δυσχεραίνεις; ἀνανεωσάμενος τὸ διεζευγμένον τὸ ʻἤτοι πρόνοια ἢ ἄτομοι᾽, καὶ ἐξ ὅσων ἀπεδείχθη, ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. [6]ἀλλὰ τὰ σωματικά σου ἅψεται ἔτι; ἐννοήσας, ὅτι οὐκ ἐπιμίγνυται λείως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια, ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀπολάβῃ καὶ γνωρίσῃ τὴν

---

2 Schol. ad Dionis. Chrys. or. XX, 8 οὐδαμοῦ γὰρ οὔτε ἡσυχώτερον κατὰ τὸν αὐτοκράτορα Μάρκον οὔτε . . . ψυχήν.
6 Suid. εὐμάρεια: λέγεται καὶ ἡ εὐκοσμία παρὰ Μάρκῳ Ἀντωνίνῳ.

---

1 ἐξὸν . . . (2) ἑαυτὸν] σύ δ᾽ εἰς ἑαυτὸν D pr., σὺ δεῖ σεαυτὸν D corr. 3 ἡσυχώτερον schol. Dion. ἄνθρωπος] τις schol. Dion. 4—5 ὅτ᾽ ἔχοι ἔνδον τοιαῦτά τις C. 7 ἀνανεύου AD. 8 ⟨πρὸς⟩ σεαυτὸν D pr. 9 αὐλὴν Lofft: αὐτὴν. ἀποκλύσαι TC. 16 ἐκτέταντες A, ἀποκταθέντες D. 17 καὶ om. D. 18 τὸ alt. om. T. 19 καὶ] ἢ T. 20 ἅψεται; ἔτι codd.: corr. Cas.; ἅψεταί τι Jackson. 21 ἐπιμίγνυταί τελείως A, ἐπιμίγνυται * * λείως D; an τῷ λείως? 22 ἀπολάβη ἑαυτὴν D pr.

ἰδίαν ἐξουσίαν, καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ATD
ἀκήκοας καὶ συγκατέθου. [7]ἀλλὰ τὸ δοξάριόν σε περι- ATDC
σπάσει; ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος καὶ τὸ κενὸν τῆς ἀπηχήσεως καὶ τὸ εὐμετάβολον καὶ ἄκριτον τῶν εὐφημεῖν δοκούντων καὶ τὸ στενὸν τοῦ τόπου, ἐν ᾧ περιγράφεται. [8]ὅλη τε γὰρ ἡ γῆ στιγμὴ καὶ ταύτης πόστον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐνταῦθα πόσοι καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; [9]λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ καὶ πρὸ παντὸς μὴ σπῶ μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο καὶ ὅρα τὰ πράγματα ὡς ἀνήρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῷον. [10]ἐν δὲ τοῖς προχειροτάτοις, εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο. ἓν μέν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα, αἱ δὲ ὀχλήσεις ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. [11]ἕτερον δέ, ὅτι πάντα ταῦτα, ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβάλλει καὶ οὐκ ἔτι ἔσται· καὶ ὅσων ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. ὁ κόσμος ἀλλοίωσις· ὁ βίος ὑπόληψις.

4. Εἰ τὸ νοερὸν ἡμῖν κοινόν, καὶ ὁ λόγος, καθ' ὃν λογικοί ἐσμεν, κοινός· εἰ τοῦτο, καὶ ὁ προστακτικὸς τῶν ποιητέων ἢ μὴ λόγος κοινός· εἰ τοῦτο, καὶ ὁ νόμος κοι-

---

19 Democratis sentent. 85 (Diels Fragm. der Vors.$^{2}$ 406): Ὁ κόσμος . . . ὑπόληψις.

---

2 σε s. l. A. 5 εὐφημεῖν Gat.: ἐφ' ἡμῖν (in A ἡ corr.). 7 καὶ ταύτης om. AD. πόσον TC. 10 ἐς T. ἀρθρίδιον T. 11 κατεκτείνου C βνπ., κατατείνου D corr. 18 ὅσων T: ὅσον (ὅσον ⟨οὐκ⟩ CXπ.) ADC. 19 διανοοῦ] δι' ἀκοήν C. ὁ κόσμος ἀλλοίωσις in marg. add. D. 21 εἰς A. 23 ποιητῶν ADC. ἡμίλογος AD.

ATDC νός· εἰ τοῦτο, πολῖταί ἐσμεν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί. ²τίνος γὰρ ἄλλου φήσει τις τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δέ, ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ ATDCM νομικὸν ἡμῖν· ἢ πόθεν; ³ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου καὶ τὸ πνευματικὸν ἀπὸ πνοῆς τινος καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται), οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν.

ATCM 5. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον, σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων . . . . . . εἰς AT ταὐτά, ὅλως δὲ οὐκ ἐφ' ᾧ ἄν τις αἰσχυνθείη· οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζῴῳ οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς.

6. Ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι ἐξ ἀνάγκης· ὁ δὲ τοῦτο μὴ θέλων θέλει τὴν συκῆν ὀπὸν ATM μὴ ἔχειν. ²ὅλως δ' ἐκείνου μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε, μετὰ βραχὺ δὲ οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται.

ATD 7. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ βέβλαμμαι. ἆρον τὸ βέβλαμμαι, ἦρται ἡ βλάβη.

---

2 πολίταις τι AD. 3 φήσει τις TC: φύσιν τίς AD. 8 πνοῆς scripsi: πηγῆς TC, τηγῆς M, γῆς AD. 9 οὐδὲν γὰρ TCM: οὐδὲν A, καὶ οὐδὲν D. 10 μηδενὸς] μὴ ὄντος Nauck. μηδ'] οὐδὲ C π. (sed. postea corr.). οὐδ' εἰς τὸ μὴ ὂν Nauck. 12 τοιοῦτον C. φύσεως μυστηρίῳ M (sed εως et ω corr.). 13 αὐτῶν om. C π. lacunam not. Gat., qui suppl. καὶ διάλυσις, Rendall λύσις. 14 ταῦτα AM. 15 τῶν λόγων A pr. 17 γενέσθαι A. 18 ὁ δὲ] οὐδὲ A. 19 ἐκείνου Cor.: ἐκείνῳ A, ἐκεῖνος M pr., ἐκεῖνο TM corr. 21 οὐδὲν M.

8. Ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον αὐτοῦ χείρω οὐ ποιεῖ οὐδὲ βλάπτει οὔτε ἔξωθεν οὔτε ἔνδοθεν. ATDM

9. Ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν. ATM

10. Ὅτι πᾶν τὸ συμβαῖνον δικαίως συμβαίνει· ὅ, ἐὰν ἀκριβῶς παραφυλάσσῃς, εὑρήσεις· οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ' ἀξίαν. [2]παραφύλασσε οὖν, ὡς ἤρξω καί, ὅ τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τῷ ἀγαθὸς εἶναι, καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθός. [3]τοῦτο ἐπὶ πάσης ἐνεργείας σῷζε. AT

11. Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει ἢ οἷά σε κρίνειν βούλεται, ἀλλὰ ἴδε αὐτά, ὁποῖα κατ' ἀλήθειάν ἐστι.

12. Δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ· τὴν μὲν πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ ἐπ' ὠφελείᾳ ἀνθρώπων, τὴν δὲ πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. [2]τὴν μέντοι μεταγωγὴν ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου ἢ κοινωφελοῦς γίνεσθαι καὶ τὰ † παραπαίονα τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ ἢ ἔνδοξον ἐφάνη.

13. Λόγον ἔχεις; ἔχω. τί οὖν οὐ χρᾷ; τούτου γὰρ τὸ ἑαυτοῦ ποιοῦντος τί ἄλλο θέλεις;

14. Ἐνυπέστης ὡς μέρος. ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν. ATC

---

1 τοῦτο . . . (2) ποιεῖ om. D. 2 οὐ om. T. 4 ταῦτα A; fort. ⟨ἀεὶ⟩ ταὐτά. 9 τῷ A: τὸ T. 12 κρίνειν T (*sentit* Xyl.). 13 ὁποίαν A. 15 ἔχει A. 21 παραπαίονα A (λ in marg.): παραπλήσια T; fort. παραστήσοντα. 23 τοῦτο A. 25 ἀνυπέστης et ἀναφανισθήσῃ A. 26 τὸν alt.] τὸ C βνπ.

ATC 15. *Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ αὐτοῦ βωμοῦ· τὸ μὲν προκατέπεσεν, τὸ δ' ὕστερον, διαφέρει δ' οὐδέν.*

16. *Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίον καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα καὶ τὸν σεβασμὸν τοῦ λόγου.*

17. *Μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. τὸ χρεὼν ἐπήρτηται· ἕως ζῇς, ἕως ἔξεστιν, ἀγαθὸς γενοῦ.*

18. *Ὅσην εὐσχολίαν κερδαίνει ὁ μὴ βλέπων, τί ὁ πλησίον εἶπεν ἢ ἔπραξεν ἢ διενοήθη, ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ καὶ ὅσιον ἢ κατὰ † τὸν ἀγαθόν. μὴ μέλαν ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθόν, μὴ διερριμμένον.*

ATD 19. *Ὁ περὶ τὴν ὑστεροφημίαν ἐπτοημένος οὐ φαντάζεται, ὅτι ἕκαστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐτὸς ἀποθανεῖται, εἶτα πάλιν ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀποσβῇ δι' ἁπτομένων καὶ σβεννυμένων προιοῦσα.* [2]*ὑπόθου δ', ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι, ἀθάνατος δ' ἡ μνήμη· τί οὖν τοῦτο πρὸς σέ; καὶ οὐ λέγω, ὅτι οὐδὲν πρὸς τὸν τεθνηκότα· ἀλλὰ πρὸς τὸν ζῶντα τί ὁ ἔπαινος;* [3]*πλὴν ἄρα δι' οἰκονομίαν τινὰ † πάρες γὰρ νῦν ἀκαίρως τὴν φυσικὴν δόσιν ἄλλου τινὸς ἐχομένην λόγου λοιπόν.*

ATDC 20. *Πᾶν τὸ καὶ ὁπωσοῦν καλὸν ἐξ ἑαυτοῦ καλόν ἐστι καὶ ἐφ' ἑαυτὸ καταλήγει οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν*

---

3 *δόξεις* TC plerique: *δόξῃς* A, om. C*π*. 6 *χρέος* AC. 8 *ἀσχολίαν*: corr. Gat. (*quantum ocii* Xyl.). 10—11 *κατὰ τὸν ἀγαθὸν* (ὁ corr.) A; *κατὰ πᾶν ἀγαθόν* Schmidt; fort. *καθάπαν ἀγαθόν*; *κατὰ τὸν Ἀγάθωνα* Xyl. 11 *μὴ* . . . (12) *ὀρθόν* om. A. *ἦθος* ⟨*μὴ*⟩ C (⟨*καὶ*⟩ C*π*.). 15 *πάλιν* ⟨*καὶ αὐτὸς*⟩ T; *πάλιν* ⟨*καὶ*⟩ Nauck. *διαδεξόμενος* D corr. 16 *διὰ ἐπτοημένων*: corr. Pierron (*διὰ ἁπτ.*); *ἐξαπτομένων* Crossley. 19 *οὐ* AD: *οὐδὲν* T (in quo *οὐδὲν* om.). 21 locus desperatus. 22 *ἐχόμενον* T (corr. Xyl.). 24 *ἑαυτὸ* ADC: *ἑαυτῷ* T.

ἔπαινον. οὐ τοίνυν χεῖρον ἢ κρεῖττον γίνεται τὸ ἐπαινούμενον. ATDC [2]τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων, οἷον ἐπὶ τῶν ὑλικῶν καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων· τό γε δὴ ὄντως καλὸν τίνος χρείαν ἔχει; οὐ μᾶλλον ἢ νόμος, οὐ μᾶλλον ἢ ἀλήθεια, οὐ μᾶλλον ἢ εὔνοια, ἢ αἰδώς. [3]τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν ἢ ψεγόμενον φθείρεται; σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσός, ἐλέφας, πορφύρα, λύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον;

21. *Εἰ διαμένουσιν αἱ ψυχαί, πῶς αὐτὰς ἐξ ἀιδίου* ATD χωρεῖ ὁ ἀήρ; [2]πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα; ὥσπερ γὰρ ἐνθάδε ἡ τούτων παρ᾽ ὀλίγην τινὰ ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ, οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαὶ ἐπὶ ποσὸν συμμείνασαι μεταβάλλουσι καὶ χέονται καὶ ἐξάπτονται εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. τοῦτο δ᾽ ἄν τις ἀποκρίναιτο ἐφ᾽ ὑποθέσει τοῦ τὰς ψυχὰς διαμένειν. [3]χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆθος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέ-

---

11 Io. Tzetzes Chil. VII 804 (*καὶ τὴν ψυχὴν*) *φθείρεσθαι καὶ μὴ μένειν δὲ τοιουτοτρόπως λέγων· Εἰ παραμένουσι ψυχαὶ ἤγουν εἰσὶν ἀφθάρτως, Πῶς ἐξ αἰῶνος ὁ ἀὴρ ταύτας χωρεῖν ἰσχύει;* (cf. quae adn. ad VI 13).

---

1 *οὐ τοίνυν* scripsi: *οὔτε γοῦν* ATC: *οὕτω γοῦν* D. 2 *καλὸν* ACγ, *καλῶς* Cπ. 4 *τό γε δὴ* AD; *τὸ δὲ δὴ* TC; *τὸ γὰρ δὴ* Kronenberg. *τινὸς* T. 5—6 *νόμος . . . αἰδώς*] *νόμος, ἀλήθεια, εὔνοια, αἰδώς* C. 9 *λύρα* om. T. 11 *παραμένουσι* Tzetzes. 14 *παρ᾽ ὀλίγην τινὰ* scripsi: *πρὸς ἥντινα.* 19 *ταῖς προσσυνοικιζομέναις* Gat.: *ταῖς προσυνοικιζομέναις* T, *πρὸς ταῖς συνοικιζομέναις* AD. 22 *τὸ* om. D.

ATD ρας ἐσθιομένων ζῴων ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζῴων. [4]ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται καὶ οὑτωσί πως θάπτεται ἐν τοῖς τῶν τρεφομένων σώμασι· καὶ ὅμως δέχεται ἡ χώρα αὐτὰ διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις.

[5]Τίς ἐπὶ τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικὸν καὶ εἰς τὸ αἰτιῶδες.

AT 22. *Μὴ ἀπορρέμβεσθαι, ἀλλ' ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι καὶ ἐπὶ πάσης φαντασίας σῴζειν τὸ καταληπτικόν.*

23. *Πᾶν μοι συναρμόζει, ὃ σοὶ εὐάρμοστόν ἐστιν, ὦ κόσμε· οὐδέν μοι πρόωρον οὐδὲ ὄψιμον τὸ σοὶ εὔκαιρον.* [2]πᾶν μοι καρπός, ὃ φέρουσιν αἱ σαὶ ὧραι, ὦ φύσις· ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. [3]ἐκεῖνος μέν φησι '⟨ὦ⟩ πόλι φίλη Κέκροπος'· σὺ δὲ οὐκ ἐρεῖς 'ὦ πόλι φίλη Διός';

24. *'Ολίγα πρῆσσε', φησίν, 'εἰ μέλλεις εὐθυμήσειν'.* μήποτε ἄμεινον τἀναγκαῖα πράσσειν καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζῴου λόγος αἱρεῖ καὶ ὡς αἱρεῖ; [2]τοῦτο γὰρ οὐ μόνην τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. [3]τὰ πλεῖστα γάρ, ὧν λέγομεν καὶ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταρακτότερος ἔσται. [4]ὅθεν δεῖ καὶ παρ' ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν· μή τι τοῦτο οὐ τῶν ἀναγκαίων; [5]δεῖ δὲ οὐ μόνον πράξεις τὰς μὴ

---

15 Aristoph. fragm. 110 Kock. 17 cf. Democriti fr. 3 (Diels Fragm. d. Vors.² 386).

---

4 αὐτὰ Gat.: αὔτη. 8 ὁρμῆς . . . (9) πάσης om. A. 9—10 τὸν καταλειπτικὸν A. 12 ὄψιον A. 15 suppl. Gat. 17 πρῆσσε T: πρίν σε A 20 μόνον T. εὐθυμίαν . . . (21) πράσσειν om. A. 24 δεῖ T: δὴ A. 25 οὐ A: μὴ T.

ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ AT οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσιν.

25. Πείρασον, πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ.

26. Ἑώρακας ἐκεῖνα; ἴδε καὶ ταῦτα. [2]σεαυτὸν μὴ τάρασσε· ἅπλωσον σεαυτόν. [3]ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. [4]συμβέβηκέ σοί τι; καλῶς· ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. [5]τὸ δ' ὅλον, βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ. [6]νῆφε ἀνειμένος.

27. Ἤτοι κόσμος διατεταγμένος ἢ κυκεὼν συμπεφορημένος μέν, † ἀλλὰ κόσμος. [2]ἢ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται, ἐν δὲ τῷ παντὶ ἀκοσμία, καὶ ταῦτα οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν;

28. Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθός, θηριῶδες, βοσκηματῶδες, παιδαριῶδες, βλακικόν, κίβδηλον, βωμολόχον, καπηλικόν, τυραννικόν.

29. Εἰ ξένος κόσμου ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος καὶ ὁ μὴ γνωρίζων τὰ γινόμενα. [2]φυγὰς ὁ φεύγων τὸν πολιτικὸν λόγον· τυφλὸς ὁ καταμύων τῷ νοερῷ ὄμματι· πτωχὸς ὁ ἐνδεὴς ἑτέρου καὶ μὴ πάντα ἔχων παρ' ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα. [3]ἀπόστημα

---

2 ἐνακολουθήσουσιν A. 9 σοί τι καλῶς; codd.: corr. Cas. 10 σοι συγκαθήμαρτο T (corr. Cas.): ὦ συγκαθήμαρτον A. 11 κερδάντες A. 12 ἀνειμέρως A; ἀνειμένως Schultz. 13 συμπεφυρμένος Schultz. 13—14 συμπεφυρμένος. ἀλλὰ μὴν κόσμος· ἢ Rendall; συμπεφορ. μέν, ἀλλὰ κόσμῳ Reiske; fort. συμπεφορ. μέν, ἀλλ' οὐ κόσμος. 21 ἐν αὐτῷ T: ἑαυτῷ A. 22 σφαγὰς A. 24 ⟨ὁ⟩ ἑτέρου A. 25 τὰ om. A.

AT κόσμου ὁ ἀφιστάμενος καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν· ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν· ἀπόσχισμα πόλεως ὁ τὴν ἰδίαν ψυχὴν τῆς τῶν λογικῶν ἀποσχίζων, μιᾶς οὔσης.

30. Ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ, ὁ δὲ χωρὶς βιβλίου. ἄλλος οὗτος ἡμίγυμνος 'ἄρτους οὐκ ἔχω', φησί, 'καὶ ἐμμένω τῷ λόγῳ'. ἐγὼ δὲ 'τροφὰς τὰς ἐκ τῶν μαθημάτων οὐκ ἔχω καὶ ἐμμένω'.

31. Τὸ τεχνίον, ὃ ἔμαθες, φίλει, τούτῳ προσαναπαύου· τὸ δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε ὡς θεοῖς μὲν ἐπιτετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον μήτε δοῦλον ἑαυτὸν καθιστάς.

32. Ἐπινόησον λόγου χάριν τοὺς ἐπὶ Οὐεσπασιανοῦ καιρούς, ὄψει ταῦτα πάντα· γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀποθνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀποθανεῖν τινας εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας. οὐκοῦν ἐκεῖνος μὲν ὁ τούτων βίος οὐκ ἔτι οὐδαμοῦ. [2]πάλιν ἐπὶ τοὺς καιροὺς τοὺς Τραιανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα· τέθνηκε κἀκεῖνος ὁ βίος. [3]ὁμοίως καὶ τὰς ἄλλας ἐπιγραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεώρει καὶ βλέπε, πόσοι κατενταθέντες μετὰ μικρὸν ἔπεσον καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. [4]μάλιστα δὲ ἀναπολητέον

---

7 οὗτος Gat., Menag.: οὕτως. 8 τῶν om. T. 10 ὃν A. τοῦτο A. 13 ⟨μηδὲν⟩ μηδενὸς A. σεαυτὸν A. 15 ⟨σοῦ⟩ λόγου A. 16 ταὐτὰ Gat. 22 ἐκείνους et τούτου A. 23 τοῦ τραιανοῦ A. 24 αὐτὰ πάντα T: ἑαυτοῦ πάθη A.

ἐκείνους, οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους, ἀφέντας AT ποιεῖν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν καὶ τούτου ἀπρὶξ ἔχεσθαι καὶ τούτῳ ἀρκεῖσθαι. [5]ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ' ἑκάστην πρᾶξιν ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν· οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ πλέον, ἢ προσῆκε, περὶ τὰ ἐλάσσω καταγίνῃ.

33. *Αἱ πάλαι συνήθεις λέξεις νῦν γλωσσήματα*· οὕτως ATB οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυυμνήτων νῦν τρόπον τινὰ γλωσσήματά ἐστιν, Κάμιλλος, Καίσων, Οὐόλεσος, † Λεοννάτος, κατ' ὀλίγον δὲ καὶ Σκιπίων καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἁδριανὸς καὶ Ἀντωνῖνος. ἐξίτηλα γὰρ πάντα καὶ μυθώδη ταχὺ γίνεται· ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσεν. [2]καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμψάντων. οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι ἄιστοι, ἄπυστοι. τί δὲ καὶ ἔστιν ὅλως τὸ ἀείμνηστον; ὅλον κενόν. [3]τί οὖν ἐστι, περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο, διάνοια δικαία καὶ πράξεις κοινωνικαὶ καὶ λόγος, οἷος μηδέποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον, ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον.

---

16 Hom. Od. α 242.

---

3 τούτῳ T: τοῦτο A. 8 γλωσσήματα νῦν T, νῦν γλωσσήματά ⟨ἐστιν⟩ B. 10 Καίσων om. B. οὐολόγεσος B. 11 λεονάτος B; Δέντατος Wyse, Rendall; Λένατος (*Lanatus*) Bücheler. 12 καὶ ante Αὔγ., Ἁδρ., Ἀντ. om. B. 13 γίνονται B. 15 ἐπὶ] περὶ B. 16 αἴαστοι A. ἄποιστοι A, om. B. ὅλως] αὐτὸ B. 17 ἐστι ⟨τοῦτο⟩ B. δὴ A et fort. B pr. 19 λόγοι, οἷς B. μηδέποτε scripsi: μήποτε T, μήτε A, μηδὲ (vel μηδὲν) B. διαψεύδεσθαι B (malim διεψεῦσθαι). 21 πηγῆς TB: τῆς γῆς A.

AT 34. Ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου παρέχων συννῆσαι, οἷστισί ποτε πράγμασι βούλεται.

ATD 35. Πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον καὶ τὸ μνημονευόμενον.

36. Θεώρει διηνεκῶς πάντα κατὰ μεταβολὴν γινόμενα καὶ ἐθίζου ἐννοεῖν, ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς τὸ τὰ ὄντα μεταβάλλειν καὶ ποιεῖν νέα ὅμοια. [2]σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου. [3]σὺ δὲ μόνα σπέρματα φαντάζῃ τὰ εἰς γῆν ἢ μήτραν καταβαλλόμενα· τοῦτο δὲ λίαν ἰδιωτικόν.

AT 37. Ἤδη τεθνήξῃ καὶ οὔπω οὔτε ἁπλοῦς οὔτε ἀτάραχος οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν οὔτε ἵλεως πρὸς πάντας οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαιοπραγεῖν τιθέμενος.

38. Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν.

39. Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. [2]ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοί ἐστιν. τοῦτο οὖν μὴ ὑπολαμβανέτω καὶ πάντα εὖ ἔχει. [3]κἂν τὸ ἐγγυτάτω αὐτοῦ, τὸ σωμάτιον, τέμνηται, καίηται, διαπυίσκηται, σήπηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον ἡσυχαζέτω· τουτέστι, κρινέτω μήτε κακόν τι εἶναι μήτε ἀγαθόν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. [4]ὃ γὰρ ⟨καὶ τῷ παρὰ φύσιν⟩ καὶ τῷ

---

1 κλωθὼ A. 5 post διηνεκῶς punctum pos. T, sustulit Xyl. γινόμενα ⟨γίνεται⟩ T; an γινόμενα ⟨, ὡς⟩ γίνεται, ? 9 φαντάζει T. 10 τοῦτο . . . ἰδιωτικόν om. D. 11 ἁπλῶς A. 13 τὸ δικ. A. 17 σὸν] ὃ ὂν A. 18 μὴν Gat.: μὲν. 21 τῶ ἐγγυτάτω A. τὸ σωμάτων T (*corpus* Xyl.). 23 τουτέστι Gat.: τοιοῦτόν ἐστι. 25 ⟨καὶ . . . φύσιν⟩ hic inserui, ante βιοῦντι Cas.

κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει, τοῦτο οὔτε κατὰ AT φύσιν ἐστὶν οὔτε παρὰ φύσιν.

40. Ὡς ἓν ζῷον τὸν κόσμον μίαν οὐσίαν καὶ ψυχὴν μίαν ἐπέχον συνεχῶς ἐπινοεῖν, καὶ πῶς εἰς αἴσθησιν μίαν τὴν τούτου πάντα ἀναδίδοται, καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει, καὶ πῶς πάντα πάντων τῶν γινομένων συναίτια, καὶ οἵα τις ἡ σύννησις καὶ συμμήρυσις.

41. Ψυχάριον εἶ, βαστάζον νεκρόν, ὡς Ἐπίκτητος ἔλεγεν.

42. Τοῖς ἐν μεταβολῇ γινομένοις οὐδέν ἐστι κακόν· ὡς οὐδὲ ἀγαθὸν ἐκ μεταβολῆς ὑφισταμένοις.

43. Ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ATD ὁ αἰών· ἅμα τε γὰρ ὤφθη ἕκαστον καὶ παρενήνεκται καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται.

44. Πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον, AT ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος καὶ θάνατος καὶ βλασφημία καὶ ἐπιβουλὴ καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει ἢ λυπεῖ.

45. Τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται· οὐ γὰρ οἷον καταρίθμησίς τίς ἐστιν ἀπηρτημένως καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα, ἀλλὰ συνάφεια εὔλογος· καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα, οὕτως τὰ γινόμενα οὐ διαδοχὴν ψιλήν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει.

46. Ἀεὶ τοῦ Ἡρακλειτείου μεμνῆσθαι, ὅτι γῆς θανα- ATDM

---

8 fragm. XXVI Sch. 25 Heracliti fragm. 76 (Diels; cf. fragm. 17).

---

1 οὔτε τοῦτο T. 10 Οὐδέν ἐστι κακὸν τοῖς ἐν μετ. γινομένοις T (Xyl. in versione cum A consentit). 12 τις ἐκ] τίς ἐστι Nauck. 16 ἀέρι A. 20 ἀπηρτημένων Gat. 22 καὶ del. Schultz II. 23 οὐ . . . τινα om. A.

ATDM τος ὕδωρ γενέσθαι καὶ ὕδατος θάνατος ἀέρα γενέσθαι ATD καὶ ἀέρος πῦρ καὶ ἔμπαλιν. [2]μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου, ᾗ ἡ ὁδὸς ἄγει· [3]καὶ ὅτι, ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι, λόγῳ τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται, καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται· [4]καὶ ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν· καὶ γὰρ καὶ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν· [5]καὶ ὅτι οὐδ' ὡς παῖδας τοκεώνων, τοῦτ' ἔστι 'κατὰ ψιλόν', 'καθότι παρειλήφαμεν'.

47. Ὥσπερ εἴ τίς σοι θεῶν εἶπεν, ὅτι αὔριον τεθνήξῃ ἢ πάντως γε εἰς τρίτην, οὐκ ἔτ' ἂν παρὰ μέγα ἐποιοῦ τὸ εἰς τρίτην μᾶλλον ἢ αὔριον, εἴ γε μὴ ἐσχάτως ἀγεννὴς εἶ (πόσον γάρ ἐστι τὸ μεταξύ;), οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον ἢ αὔριον μηδὲν μέγα εἶναι νόμιζε.

AT 48. Ἐννοεῖν συνεχῶς, πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀρρώστων συσπάσαντες· πόσοι δὲ μαθηματικοί, ἄλλων θανάτους ὥς τι μέγα προειπόντες· πόσοι δὲ φιλόσοφοι, περὶ θανάτου ἢ ἀθανασίας μυρία διατεινάμενοι· πόσοι δὲ ἀριστεῖς, πολλοὺς ἀποκτείναντες· πόσοι δὲ τύραννοι ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι· πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν, Ἑλίκη καὶ Πομπήιοι καὶ Ἡρκλᾶνον καὶ ἄλλαι ἀναρίθμητοι. [2]ἔπιθι δὲ καί, ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ· ὁ μὲν τοῦτον κη-

---

2—9 Heracliti fragm. 71—74 Diels.

---

3 ᾗ] οἵ D. 5 ἀκυροῦσαν A, in D spat. vac. 7 καὶ (ante τότε) om. T. 8 οὐδ' ὡς scripsi: οὐ δεῖ; οὐ δεῖ ⟨ὡς⟩ Cas. τοκέων ὤν: em. Rendall. 11 γε om. T. 13 εἰς τὸ D. 23 ἑλίκοι A. 24 ἡρκλάνον A, ηρακλάνον T (Ἡ Bas.): corr. Leop.

δεύσας εἶτα ἐξετάσθη, ὁ δὲ ἐκεῖνον· πάντα δὲ ἐν βραχεῖ. AT [3]τὸ γὰρ ὅλον, κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα ὡς ἐφήμερα καὶ εὐτελῆ καὶ ἐχθὲς μὲν μυξάριον, αὔριον δὲ τάριχος ἢ τέφρα. [4]τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ χρόνου κατὰ φύσιν διελθεῖν καὶ ἵλεων καταλῦσαι, ὡς ἂν εἰ ἡ ἐλαία πέπειρος γενομένη ἔπιπτεν εὐφημοῦσα τὴν ἐνεγκοῦσαν καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ.

49. Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ᾗ διηνεκῶς τὰ κύματα προσρήσσεται· ἡ δὲ ἕστηκε καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος.

[2]‘Ἀτυχὴς ἐγώ, ὅτι τοῦτό μοι συνέβη’. οὐμενοῦν· ἀλλ’ ATX ‘εὐτυχὴς ἐγώ, ὅτι, τούτου μοι συμβεβηκότος ἄλυπος διατελῶ οὔτε ὑπὸ παρόντος θραυόμενος οὔτε ἐπιὸν φοβούμενος’. [3]συμβῆναι μὲν γὰρ τὸ τοιοῦτον παντὶ ἐδύνατο, ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσεν. διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα ἢ τοῦτο εὐτύχημα; [4]λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου, ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου; ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναι δοκεῖ σοι, ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστι; [5]τί οὖν; τὸ βούλημα μεμάθηκας· μή τι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύει σε δίκαιον εἶναι, μεγαλόψυχον, σώφρονα, ἔμφρονα, ἀπρόπτωτον, ἀδιάψευστον, αἰδήμονα, ἐλεύθερον, τἆλλα, ὧν συμπαρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια; [6]μέμνησο λοι- AT πὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου τούτῳ

1—3 πάντα . . . εὐτελῆ in vers. negl Xyl. 2 ὅλα: corr. Cas.; τοίγαρ ὅλα Lofft; an τοιγαροῦν ? 4 τούτου A. 5 εἰ ἡ scripsi: εἰ T, ἡ A. 7 δένδρῳ del. Wilam. 13 ὑπὸ <τοῦ> X. οὔτε T: οὐ τὸ A; οὔτε τὸ X. 14 τοιοῦτον Ax $p_4$: -το TX rell. 15 πᾶς ἐπὶ τούτῳ οὐκ ἂν y. 19 εἶναί σοι δοκεῖ T $p_4$. 21 κωλύσει x (*poterit* Xyl.). 22 ἀπρόσπτωτον A, om. X. ἀψευδῆ et (23) ἐλευθέριον X. 23 τὰ ἄλλα A. ὧν X: ἃ AT. παρόντων X. 24 ἡ τοῦ ATB: τοῦ X. ἐπέχει A.

AT χρῆσθαι τῷ δόγματι· οὐχ ὅτι τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως εὐτύχημα.

ATD 50. Ἰδιωτικὸν μέν, ὅμως δὲ ἀνυστικὸν βοήθημα πρὸς θανάτου καταφρόνησιν ἡ ἀναπόλησις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. [2]τί οὖν αὐτοῖς πλέον ἢ τοῖς ἀώροις; [3]πάντως πού ποτε κεῖνται Καδικιανός, Φάβιος, Ἰουλιανός, Λέπιδος, ἢ εἴ τις τοιοῦτος, οἳ πολλοὺς ἐξήνεγκαν, εἶτα ἐξηνέχθησαν· ὅλον μικρόν ἐστι τὸ διάστημα καὶ τοῦτο δι' ὅσων καὶ μεθ' οἵων ἐξαντλούμενον καὶ ἐν οἵῳ σωματίῳ· [4]μὴ οὖν ὡς πρᾶγμα. [5]βλέπε γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος καὶ τὸ πρόσω ἄλλο ἄπειρον. [6]ἐν δὴ τούτῳ τί διαφέρει ὁ τριήμερος τοῦ τριγερηνίου;

51. Ἐπὶ τὴν σύντομον ἀεὶ τρέχε· σύντομος δὲ ἡ κατὰ φύσιν· ὥστε κατὰ τὸ ὑγιέστατον πᾶν λέγειν καὶ πράσσειν. [2]ἀπαλλάσσει γὰρ ἡ τοιαύτη πρόθεσις κόπων καὶ στραγγείας καὶ πάσης οἰκονομίας καὶ κομψείας.

# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Ε̅

ATD 1. Ὄρθρου ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι· ἔτι οὖν δυσκολαίνω, εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον; ἢ ἐπὶ τοῦτο κατεσκεύ-

1 δόγματι T: πράγματι A. 3 ἀνυτικὸν T. πρὸς] Ὅρος AD. καταφρόνησις ἢ ἀν. D. 8 ὅλον T: ὅλλον A. μικρόν Bas.: μικκόν AT. 9 ὅσων] οἵων Richards. 13 τρέχει A. 16 στρατείας: em. Schweighäuser. 17 unius versus intervallum in A. 23 ἕνε̌ D.

ζῴου λογικῇ ψυχῇ· τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου καὶ τὸ ἐν τῇ δικαικῇ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθὸν καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν. AT

35. Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμὴ μήτε ἐνέργεια κατὰ κακίαν ἐμὴν μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι, τίς δὲ βλάβη τοῦ κοινοῦ;

36. Μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι, ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν, κἂν εἰς τὰ μέσα ἐλαττῶνται, μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι· κακὸν γὰρ ἔθος. [2]ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει μεμνημένος, ὅτι ῥόμβος, οὕτως οὖν καὶ ὧδε. [3]ἐπεί τοι γίνῃ † καλῶν ἐπὶ τῶν ἐμβόλων. ἄνθρωπε, ἐπελάθου, τί ταῦτα ἦν; 'ναί· ἀλλὰ τούτοις περισπούδαστα'. διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ;

[4]Ἐγενόμην ποτὲ ὁπουδήποτε καταλειφθεὶς εὔμοιρος ἄνθρωπος· τὸ δὲ εὔμοιρος, ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας· ἀγαθαὶ δὲ μοῖραι ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαί, ἀγαθαὶ πράξεις.

# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Ϛ

1. Ἡ τῶν ὅλων οὐσία εὐπειθὴς καὶ εὐτρεπής· ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν· κακίαν γὰρ οὐκ ἔχει οὐδέ τι κακῶς ποιεῖ ATD

---

1 λογικῇ scripsi: λογικοῦ A, om. T. 2 δικαικῇ T: καικῇ A. 12 οὖν καὶ . . . (14) διὰ τοῦτ' om. A. 15 καταληφθεὶς Cas. 16 ἀπένειμας A. 19 nullum intervallum in A. 23 εὐπρεπής AD.

ATD οὐδὲ βλάπτεταί τι ὑπ' ἐκείνου. ²πάντα δὲ κατ' ἐκεῖνον γίνεται καὶ περαίνεται.

2. Μὴ διαφέρου, πότερον ῥιγῶν ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς, καὶ πότερον νυστάζων ἢ ἱκανῶς ὕπνου ἔχων, καὶ πότερον κακῶς ἀκούων ἢ εὐφημούμενος, καὶ πότερον ἀποθνήσκων ἢ πράττων τι ἄλλοῖον. ²μία γὰρ τῶν βιωτικῶν πράξεων καὶ αὕτη ἐστίν, καθ' ἣν ἀποθνήσκομεν· ἀρκεῖ οὖν καὶ ἐπὶ ταύτης τὸ παρὸν εὖ θέσθαι.

3. Ἔσω βλέπε· μηδενὸς πράγματος μήτε ἡ ἰδία ποιότης μήτε ἡ ἀξία παρατρεχέτω σε.

4. Πάντα τὰ ὑποκείμενα τάχιστα μεταβαλεῖ καὶ ἤτοι ἐκθυμιαθήσεται, εἴπερ ἥνωται ἡ οὐσία, ἢ σκεδασθήσεται.

5. Ὁ διοικῶν λόγος οἶδεν, πῶς διακείμενος καὶ τί ποιεῖ καὶ ἐπὶ τίνος ὕλης.

6. Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι τὸ μὴ ἐξομοιοῦσθαι.

7. Ἑνὶ τέρπου καὶ προσαναπαύου, τῷ ἀπὸ πράξεως κοινωνικῆς μεταβαίνειν ἐπὶ πρᾶξιν κοινωνικήν, σὺν μνήμῃ θεοῦ.

8. Τὸ ἡγεμονικόν ἐστι τὸ ἑαυτὸ ἐγεῖρον καὶ τρέπον καὶ ποιοῦν μὲν ἑαυτό, οἷον ἂν καὶ θέλῃ, ποιοῦν δὲ ἑαυτῷ φαίνεσθαι πᾶν τὸ συμβαῖνον, οἷον αὐτὸ θέλει.

9. Κατὰ τὴν τῶν ὅλων φύσιν ἕκαστα περαίνεται· οὐ γὰρ κατ' ἄλλην γέ τινα φύσιν ἤτοι ἔξωθεν περιέχουσαν ἢ ἐμπεριεχομένην ἔνδον ἢ ἔξω ἀπηρτημένην.

10. Ἤτοι κυκεὼν καὶ ἀντεμπλοκὴ καὶ σκεδασμὸς ἢ

---

2 γίνονται A, in D comp. 7 καθ' ἣν TD: καθὼς A. 10 ἡ om. AD. περιτρεχέτω AD. 12 μεταβαλεῖ Schultz II: μεταβάλει A pr., μεταβάλλει A corr. TD. ἤτοι T: εἴτι A, εἴτε D. 21 ἑαυτῷ A. 22 ἑαυτῶ AD. ἂν ⟨ἢ⟩ AD.

ἕνωσις καὶ τάξις καὶ πρόνοια. [2]εἰ μὲν οὖν τὰ πρότερα, τί καὶ ἐπιθυμῶ εἰκαίῳ συγκρίματι καὶ φυρμῷ τοιούτῳ ἐνδιατρίβειν; [3]τί δέ μοι καὶ μέλει ἄλλου τινὸς ἢ τοῦ ὅπως ποτὲ αἶα γίνεσθαι; [4]τί δὲ καὶ ταράσσομαι; ἥξει γὰρ ἐπ' ἐμὲ ὁ σκεδασμός, ὅ τι ἂν ποιῶ. [5]εἰ δὲ θάτερά ἐστιν, σέβω καὶ εὐσταθῶ καὶ θαρρῶ τῷ διοικοῦντι. ATD

11. Ὅταν ἀναγκασθῇς ὑπὸ τῶν περιεστηκότων οἱονεὶ διαταραχθῆναι, ταχέως ἐπάνιθι εἰς ἑαυτὸν καὶ μὴ ὑπὲρ τὰ ἀναγκαῖα ἐξίστασο τοῦ ῥυθμοῦ· ἔσῃ γὰρ ἐγκρατέστερος τῆς ἁρμονίας τῷ συνεχῶς εἰς αὐτὴν ἐπανέρχεσθαι.

12. Εἰ μητρυιάν τε ἅμα εἶχες καὶ μητέρα, ἐκείνην τ' ἂν ἐθεράπευες καὶ ὅμως ἡ ἐπάνοδός σοι πρὸς τὴν μητέρα συνεχὴς ἐγίνετο. [2]τοῦτό σοι νῦν ἐστιν ἡ αὐλὴ καὶ ἡ φιλοσοφία· ὧδε πολλάκις ἐπάνιθι καὶ προσαναπαύου ταύτῃ, δι' ἣν καὶ τὰ ἐκεῖ σοι ἀνεκτὰ φαίνεται καὶ σὺ ἐν αὐτοῖς ἀνεκτός.

13. Οἷον δὴ τὸ φαντασίαν λαμβάνειν ἐπὶ τῶν ὄψων καὶ τῶν τοιούτων ἐδωδίμων, ὅτι νεκρὸς οὗτος ἰχθύος, οὗτος δὲ νεκρὸς ὄρνιθος ἢ χοίρου· καὶ πάλιν ὅτι ὁ Φάλερνος χυλάριόν ἐστι σταφυλίου καὶ ἡ περιπόρφυρος τριχία προβατίου, αἱματίῳ κόγχης δεδευμένα· καὶ ἐπὶ τῶν κατὰ τὴν συνουσίαν ἐντερίου παράτριψις καὶ μετά ATX

4 Hom. Il. *Η* 99. 22 Io. Tzetzes Chil. VII 800 sqq. Ὁ Μάρ-

1 *οὖν* om. D. 4 *ἐᾷ γίγνεσθαι* D. 6 *θαρρῶ* TD: *καθαρρῶ* A. 9 *ἔσῃ* T: *εἰ* A, *εἶ* D. 10 *εἰς*] *ἐπ'* D. 14 *ἡ* om. T. 15 *τἀκεῖ* AD. 17 *φαντασίαν* ATB$v_5 p_1$ pr.: *φαντασία* X. 19 *καὶ πάλιν* om. z. *ὅτι* om. y. *ὁ Φάλερνος . . .* (20) *καὶ* om. X. *φαλέρνος*: corr. Gat. 20 *περιπόρφυρος* ⟨*ἐσθῆς*⟩ B. 21 *τριχία* ⟨*ἐστὶ*⟩ X. *αἵματι* A. *κογχύλης* B (idem in X nonn. ut glossa adscr.). *δεδευμένη* B. 22 *οὐσίαν* AB. *ἐντερίου*] *νευρίου* Tzetzes (commend. Nauck).

ATX τινος σπασμοῦ μυξαρίου ἔκκρισις· [2]οἷαι δὴ αὖταί εἰσιν αἱ φαντασίαι καθικνούμεναι αὐτῶν τῶν πραγμάτων καὶ διεξιοῦσαι δι' αὐτῶν, ὥστε ὁρᾶν, οἷά τινά ποτ' ἐστίν· [3]οὕτως δεῖ παρ' ὅλον τὸν βίον ποιεῖν καί. ὅπου λίαν ἀξιόπιστα τὰ πράγματα φαντάζεται, ἀπογυμνοῦν αὐτὰ καὶ τὴν εὐτέλειαν αὐτῶν καθορᾶν καὶ τὴν † ἱστορίαν, ἐφ' ᾗ σεμνύνεται, περιαιρεῖν. [4]δεινὸς γὰρ ὁ τῦφος παραλογιστὴς καί, ὅτε δοκεῖς μάλιστα περὶ τὰ σπουδαῖα καταAT γίνεσθαι, τότε μάλιστα καταγοητεύῃ. [5]ὅρα γοῦν, ὁ Κράτης τί περὶ αὐτοῦ τοῦ Ξενοκράτους λέγει.

14. Τὰ πλεῖστα, ὧν ἡ πληθὺς θαυμάζει, εἰς γενικώτατα ἀνάγεται τὰ ὑπὸ ἕξεως ἢ φύσεως συνεχόμενα, λίθους, ξύλα, συκᾶς, ἀμπέλους, ἐλαίας· τὰ δὲ ὑπὸ τῶν ὀλίγῳ μετριωτέρων εἰς τὰ ὑπὸ ψυχῆς, οἷον ποίμνας, ἀγέλας. τὰ δὲ ὑπὸ τῶν ἔτι χαριεστέρων εἰς τὰ ὑπὸ λογικῆς ψυχῆς, οὐ μέντοι καθολικῆς, ἀλλὰ καθὸ τεχνικὴ ἢ ἄλλως πως ἐντρεχής, ἢ κατὰ ψιλὸν τὸ πλῆθος ἀνδραπόδων κεκτῆσθαι. [2]ὁ δὲ ψυχὴν λογικὴν καθολικὴν καὶ πολιτικὴν τιμῶν οὐδὲν ἔτι τῶν ἄλλων ἐπιστρέφεται, πρὸ ἁπάντων δὲ τὴν ἑαυτοῦ ψυχὴν λογικῶς καὶ κοινωνικῶς ἔχουσαν καὶ κινουμένην διασῴζει καὶ τῷ ὁμογενεῖ εἰς τοῦτο συνεργεῖ.

---

κος αὐτοκράτωρ δὲ τὸν ἄνθρωπόν φησί που Μυξάριον, ἑλκύδριον, παράτριψιν νευρίου (ἑλκύδριον corruptum esse et ad IX 3 ἔλυτρον spectare ci. Stich).

---

1 οἵαν T. 3 δι' om. X (de B non constat). οἷά τινα AX: ἅ τινα T. 4 δεῖ om. z. 5 ἀξιόπιστα τὰ X: ἀξιοπιστότατα AT. 6 ἱστορίαν] τερθρείαν Reiske; fort. εὐστοχίαν. 6—7 ἐφ' ᾗ X: ὑφ' ᾗ T, ὑφ' ἧς A. 9 ⟨καὶ⟩ τότε B. καταγοητεύῃ ABX nonn.: καταγοητεύει TX rell. 10 τίς A. 13 et 15 ὑπὸ] an ἐπὶ ? 16 καθολικῆς] fort. καθὸ λογική ἐστιν. τεχνική (η corr.) A. 18 καθολικὴν T: om. A; malim ψυχὴν λογικήν, καθὸ λογική ἐστιν.

15. Ἀεὶ τὰ μὲν σπεύδει γίνεσθαι, τὰ δὲ σπεύδει γε- AT γονέναι καὶ τοῦ γινομένου δὲ ἤδη τι ἀπέσβη· ῥύσεις καὶ ἀλλοιώσεις ἀνανεοῦσι τὸν κόσμον διηνεκῶς, ὥσπερ τὸν ἄπειρον αἰῶνα ἡ τοῦ χρόνου ἀδιάλειπτος φορὰ νέον ἀεὶ παρέχεται. [2]ἐν δὴ τούτῳ τῷ ποταμῷ τί ἄν τις τούτων τῶν παραθεόντων ἐκτιμήσειεν, ἐφ' οὗ στῆναι οὐκ ἔξεστιν; ὥσπερ εἴ τίς τι τῶν παραπετομένων στρουθα- ATD ρίων φιλεῖν ἄρχοιτο, τὸ δ' ἤδη ἐξ ὀφθαλμῶν ἀπελήλυθεν. [3]τοιοῦτον δή τι καὶ αὐτὴ ἡ ζωὴ ἑκάστου, οἷον ἡ ἀφ' αἵματος ἀναθυμίασις καὶ ἡ ἐκ τοῦ ἀέρος ἀνάπνευσις. [4]ὁποῖον γάρ ἐστι τὸ ἅπαξ ἑλκύσαι τὸν ἀέρα καὶ ἀποδοῦναι, ὅπερ παρέκαστον ποιοῦμεν, τοιοῦτόν ἐστι καὶ τὸ τὴν πᾶσαν ἀναπνευστικὴν δύναμιν, ἣν χθὲς καὶ πρῴην ἀποτεχθεὶς ἐκτήσω, ἀποδοῦναι ἐκεῖ, ὅθεν τὸ πρῶτον ἔσπασας.

16. Οὔτε τὸ διαπνεῖσθαι ὡς τὰ φυτὰ τίμιον οὔτε τὸ ἀναπνεῖν ὡς τὰ βοσκήματα καὶ τὰ θηρία οὔτε τὸ τυποῦσθαι κατὰ φαντασίαν οὔτε τὸ νευροσπαστεῖσθαι καθ' ὁρμὴν οὔτε τὸ συναγελάζεσθαι οὔτε τὸ τρέφεσθαι· τοῦτο γὰρ ὅμοιον τῷ ἀποκρίνειν τὰ περιττώματα τῆς τροφῆς. [2]τί οὖν τίμιον; τὸ κροτεῖσθαι; οὐχί. [3]οὐκοῦν οὐδὲ τὸ ὑπὸ γλωσσῶν κροτεῖσθαι· αἱ γὰρ παρὰ τῶν πολλῶν εὐφημίαι κρότος γλωσσῶν. [4]ἀφῆκας οὖν καὶ τὸ δοξάριον· τί καταλείπεται τίμιον; δοκῶ μὲν τὸ κατὰ τὴν ἰδίαν

---

1 *Ἀεὶ* scripsi: *καὶ* A, om. T. 3—4 *τὸν ἄπειρον αἰῶνα* post *ἀνανεοῦσι* colloc. T (sed Xyl. in versione cum A consentit). 6 *τούτων παραθεόντων τῶν* T (corr. Bas.). 7 *τι* om. D. *στρουθίων* T. 9 *τοιοῦτο* D. 11 *ἑλκῦσαι*: corr. Stich. 12 *τὴν* om. D. 16 *οὔτε τὸ διαπνεῖσθαι* post *τίμιον* colloc. T (Xyl. cum AD consentit). *τὸ* pr. om. AD. 19 *τὸ* (ante *συναγ.*) om. AD. 20 *τῷ* T: *τὸ* AD; fort. *τούτῳ γὰρ ὅμοιον τὸ*. 22 *ὑπόγλωσσον* AD.

ATD κατασκευὴν κινεῖσθαι καὶ ἴσχεσθαι, ἐφ' ὃ καὶ αἱ ἐπιμέλειαι ἄγουσι καὶ αἱ τέχναι. [5]ἥ τε γὰρ τέχνη πᾶσα τούτου στοχάζεται, ἵνα τὸ κατασκευασθὲν ἐπιτηδείως ἔχῃ πρὸς τὸ ἔργον, πρὸς ὃ κατεσκεύασται· ὅ τε φυτουργὸς ὁ ἐπιμελούμενος τῆς ἀμπέλου καὶ ὁ πωλοδάμνης καὶ ὁ τοῦ κυνὸς ἐπιμελούμενος τοῦτο ζητεῖ. [6]αἱ δὲ παιδαγωγίαι, αἱ δὲ διδασκαλίαι ἐπὶ τί σπεύδουσιν; ὧδε οὖν τὸ τίμιον. [7]καὶ τοῦτο μὲν εὖ ἂν ἔχῃ, οὐδὲν τῶν ἄλλων περιποιήσεις ἑαυτῷ. [8]οὐ παύσῃ καὶ ἄλλα πολλὰ τιμῶν; οὔτ' οὖν ἐλεύθερος ἔσῃ οὔτε αὐτάρκης οὔτε ἀπαθής. [9]ἀνάγκη γὰρ φθονεῖν, ζηλοτυπεῖν, ὑφορᾶσθαι τοὺς ἀφελέσθαι ἐκεῖνα δυναμένους, ἐπιβουλεύειν τοῖς ἔχουσι τὸ τιμώμενον ὑπὸ σοῦ· ὅλως πεφύρθαι ἀνάγκη τῷ ἐκείνων τινὸς ἐνδεεῖ, προσέτι δὲ πολλὰ καὶ τοῖς θεοῖς μέμφεσθαι· [10]ἡ δὲ τῆς ἰδίας διανοίας αἰδὼς καὶ τιμὴ σεαυτῷ τε ἀρεστόν σε ποιήσει καὶ τοῖς κοινωνοῖς εὐάρμοστον καὶ τοῖς θεοῖς σύμφωνον, τουτέστιν ἐπαινοῦντα, ὅσα ἐκεῖνοι διανέμουσι καὶ διατετάχασιν.

17. Ἄνω, κάτω, κύκλῳ φοραὶ τῶν στοιχείων. [2]ἡ δὲ τῆς ἀρετῆς κίνησις ἐν οὐδεμιᾷ τούτων, ἀλλὰ θειότερόν τι καὶ ὁδῷ δυσεπινοήτῳ προιοῦσα εὐοδεῖ.

18. Οἷόν ἐστιν, ὃ ποιοῦσιν. τοὺς μὲν ἐπὶ τοῦ αὐτοῦ χρόνου καὶ μεθ' ἑαυτῶν ζῶντας ἀνθρώπους εὐφημεῖν

---

1 καὶ ⟨ἵστασθαι καὶ⟩ ἴσχεσθαι D. αἱ om. AD. 2 τούτου D marg., Cas.: τοῦτο. 4 φυτουργὸς ⟨καὶ⟩ Leop.; fort. φυτουργὸς ⟨καὶ ὁ ἀμπελουργὸς⟩. 7 δὲ om. T. ἐπὶ τὶ T. ὧδε AT: ᾧ D. 8 μὲν AT: μόνον D. ἂν εὖ T. 8—9 περι ποιήσεις ἑαυτῷ A: περιποιήσῃ σεαυτῷ T, περιποιήσεις σεαυτῷ D. 9 ⟨ὃ⟩ οὐ AD; an σὺ οὐ ? 9—10 οὔτε αὐτάρκης post παύσῃ colloc. AD. 13 τῷ (τῶν A) . . . (14) ἐνδεεῖ AD: τὸν . . . ἐνδεῆ T. 15 ἑαυτὸν D pr. 16 κοινωνοῖς Cor.: κοινωνικοῖς T, ἀνθρώποις D, om. A. 21 ὁδεύει D pr.: εὐοδοῖ (ut coni. Menag.) D corr.

οὐ θέλουσιν, αὐτοὶ δὲ ὑπὸ τῶν μεταγενεστέρων εὐφη- ATD μηθῆναι, οὓς οὔτε εἶδόν ποτε οὔτε ὄψονται, περὶ πολλοῦ ποιοῦνται. [2]τοῦτο δὲ ἐγγύς ἐστι τῷ λυπηθῆναι ἄν, ὅτι οὐχὶ καὶ οἱ προγενέστεροι περὶ σοῦ λόγους εὐφήμους ἐποιοῦντο.

19. *Μή*, εἴ τι αὐτῷ σοὶ δυσκαταπόνητον, τοῦτο ἀνθρώπῳ ἀδύνατον ὑπολαμβάνειν, ἀλλ' εἴ τι ἀνθρώπῳ δυνατὸν καὶ οἰκεῖον, τοῦτο καὶ σεαυτῷ ἐφικτὸν νόμιζε.

20. *Ἐν* τοῖς γυμνασίοις καὶ ὄνυξι κατέδρυψέ τις καὶ AT τῇ κεφαλῇ ἐρραγεὶς πληγὴν ἐποίησεν· ἀλλ' οὔτε ἐπισημαινόμεθα οὔτε προσκόπτομεν οὔτε ὑφορώμεθα ὕστερον ὡς ἐπίβουλον· καίτοι φυλαττόμεθα, οὐ μέντοι ὡς ἐχθρὸν οὐδὲ μεθ' ὑποψίας, ἀλλ' ἐκκλίσεως εὐμενοῦς. [2]τοιοῦτόν τι γενέσθω καὶ ἐν τοῖς λοιποῖς μέρεσι τοῦ βίου· πολλὰ παρενθυμώμεθα τῶν οἷον προσγυμναζομένων. [3]ἔξεστι γάρ, ὡς ἔφην, ἐκκλίνειν καὶ μηδὲ ὑποπτεύειν μηδὲ ἀπέχθεσθαι.

21. *Εἴ* τίς με ἐλέγξαι καὶ παραστῆσαί μοι, ὅτι οὐκ ATD ὀρθῶς ὑπολαμβάνω ἢ πράσσω, δύναται, χαίρων μεταθήσομαι. [2]ζητῶ γὰρ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη, βλάπτεται δὲ ὁ ἐπιμένων ἐπὶ τῆς ἑαυτοῦ ἀπάτης καὶ ἀγνοίας. (22.) ἐγὼ δὲ τὸ ἐμαυτοῦ καθῆκον ποιῶ, τὰ ἄλλα με οὐ περισπᾷ· ἤτοι γὰρ ἄψυχα ἢ ἄλογα ἢ πεπλανημένα καὶ τὴν ὁδὸν ἀγνοοῦντα.

23. *Τοῖς* μὲν ἀλόγοις ζῴοις καὶ καθόλου πράγμασι AT καὶ ὑποκειμένοις ὡς λόγον ἔχων λόγον μὴ ἔχουσι χρῶ

---

6—7 *ἀνθρώπων ἀδυνάτων* AD. 9 *κατέκρυψέ τις* A. 11 *προκόπτομεν* A. 14 *τι* A: *τοι* T. *γινέσθω* Cor. 16 *καὶ μηδὲ* AT: *καὶ μηδὲν* Cor., *καὶ μήτε* ... *μήτε* Schultz II. *ἀπέχεσθαι* A. 18 *μοι* T: *με* AD. 22 *δὲ τὸ* scripsi et cc. 21 et 22 coniunxi: *τὸ* AD, *δὲ* T. 23 *μὲν* A.

AT μεγαλοφρόνως καὶ ἐλευθέρως, τοῖς δὲ ἀνθρώποις ὡς λόγον ἔχουσι χρῶ καὶ κοινωνικῶς. [2]ἐφ' ἅπασι δὲ θεοὺς ἐπικαλοῦ καὶ μὴ διαφέρου πρὸς τὸ πόσῳ χρόνῳ ταῦτα πράξεις· ἀρκοῦσι γὰρ καὶ τρεῖς ὧραι τοιαῦται.

24. Ἀλέξανδρος ὁ Μακεδὼν καὶ ὁ ὀρεωκόμος αὐτοῦ ἀποθανόντες εἰς ταὐτὸ κατέστησαν· ἤτοι γὰρ ⟨ἀν⟩ελήφθησαν εἰς τοὺς αὐτοὺς τοῦ κόσμου σπερματικοὺς λόγους ἢ διεσκεδάσθησαν ὁμοίως εἰς τὰς ἀτόμους.

25. Ἐνθυμήθητι, πόσα κατὰ τὸν αὐτὸν ἀκαριαῖον χρόνον ἐν ἑκάστῳ ἡμῶν ἅμα γίνεται σωματικὰ ὁμοῦ καὶ ψυχικά· καὶ οὕτως οὐ θαυμάσεις, εἰ πολὺ πλείω, μᾶλλον δὲ πάντα τὰ γινόμενα ἐν τῷ ἑνί τε καὶ σύμπαντι, ὃ δὴ κόσμον ὀνομάζομεν, ἅμα ἐνυφίσταται.

26. Ἐάν τίς σοι προβάλῃ, πῶς γράφεται τὸ Ἀντωνίνου ὄνομα, μήτι κατεντεινόμενος προοίσῃ ἕκαστον τῶν στοιχείων; [2]τί οὖν, ἐὰν ὀργίζωνται; μήτι ἀντοργιῇ; μήτι οὐκ ἐξαριθμήσῃ πρᾴως προιὼν ἕκαστον τῶν γραμμάτων; [3]οὕτως οὖν καὶ ἐνθάδε μέμνησο, ὅτι πᾶν καθῆκον ἐξ ἀριθμῶν τινων συμπληροῦται. τούτους δεῖ τηροῦντα καὶ μὴ θορυβούμενον μηδὲ τοῖς δυσχεραίνουσιν ἀντιδυσχεραίνοντα περαίνειν ὁδῷ τὸ προκείμενον.

27. Πῶς ὠμόν ἐστι μὴ ἐπιτρέπειν τοῖς ἀνθρώποις ὁρμᾶν ἐπὶ τὰ φαινόμενα αὐτοῖς οἰκεῖα καὶ συμφέροντα· καίτοι τρόπον τινὰ οὐ συγχωρεῖς αὐτοῖς τοῦτο ποιεῖν, ὅταν ἀγανακτῇς, ὅτι ἁμαρτάνουσι. [2]φέρονται γὰρ πάν-

---

2 καὶ om. T. 5 ὁ ὀρεωκόμος T: ὀρεωκόμος A (ὁ corr.). 6 suppl. Schultz II. 8 αὐτόμους A; fort. τὰς αὐτὰς ἀτόμους. 12 καὶ ⟨γεννητῷ καὶ⟩ σύμπαντι A; fort. τὰ γινόμενα ⟨καὶ γεννητὰ⟩ scribendum (cf. Plat. Tim. 28c). 14 προβάλλῃ A. 15 προσοίσῃ A (οί in ras.). 16 ἀντοργιῇ; μήτι T: ἂν A. 19 δεῖ T: δὲ A. 21 περαίνει A. malim (19—21) τούτους δὲ . . . περαίνειν δεῖ ὁδοῦ τὸ πρ. 25 ἀγανακτεῖς T.

τως ὡς ἐπὶ οἰκεῖα καὶ συμφέροντα αὐτοῖς. [3]'ἀλλ' οὐκ ἔχει οὕτως.' οὐκοῦν δίδασκε καὶ δείκνυε μὴ ἀγανακτῶν. AT

28. Θάνατος ἀνάπαυλα αἰσθητικῆς ἀντιτυπίας καὶ ὁρμητικῆς νευροσπαστίας καὶ διανοητικῆς διεξόδου καὶ τῆς πρὸς τὴν σάρκα λειτουργίας.

29. Αἰσχρόν ἐστιν, ἐν ᾧ βίῳ τὸ σῶμά σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν ψυχὴν προαπαυδᾶν.

30. Ὅρα, μὴ ἀποκαισαρωθῇς, μὴ βαφῇς· γίνεται γάρ. [2]τήρησον οὖν σεαυτὸν ἁπλοῦν, ἀγαθόν, ἀκέραιον, σεμνόν, ἄκομψον, τοῦ δικαίου φίλον, θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐρρωμένον πρὸς τὰ πρέποντα ἔργα. [3]ἀγώνισαι, ἵνα τοιοῦτος συμμείνῃς, οἷόν σε ἠθέλησε ποιῆσαι φιλοσοφία. [4]αἰδοῦ θεούς, σῷζε ἀνθρώπους. βραχὺς ὁ βίος· εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς διάθεσις ὁσία καὶ πράξεις κοινωνικαί. [5]πάντα ὡς Ἀντωνίνου μαθητής· τὸ ὑπὲρ τῶν κατὰ λόγον πρασσομένων εὔτονον ἐκείνου καὶ τὸ ὁμαλὲς πανταχοῦ καὶ τὸ ὅσιον καὶ τὸ εὔδιον τοῦ προσώπου καὶ τὸ μείλιχον καὶ τὸ ἀκενόδοξον καὶ τὸ περὶ τὴν κατάληψιν τῶν πραγμάτων φιλότιμον· [6]καὶ ὡς ἐκεῖνος οὐκ ἄν τι ὅλως παρῆκεν, μὴ πρότερον εὖ μάλα κατιδὼν καὶ σαφῶς νοήσας· [7]καὶ ὡς ἔφερεν ἐκεῖνος τοὺς ἀδίκως αὐτῷ μεμφομένους μὴ ἀντιμεμφόμενος· καὶ ὡς ἐπ' οὐδὲν ἔσπευδεν καὶ ὡς διαβολὰς οὐκ ἐδέχετο· [8]καὶ ὡς ἀκριβὴς ἦν ἐξεταστὴς ἠθῶν καὶ πράξεων καὶ οὐκ ὀνειδιστής, οὐ ψοφοδεής, οὐχ ὑπόπτης, οὐ σοφιστής· [9]καὶ ὡς ὀλίγοις ἀρκούμενος, οἷον οἰκήσει, στρωμνῇ, ἐσθῆτι, τροφῇ, ὑπηρεσίᾳ· [10]καὶ ὡς φιλόπονος καὶ μακρόθυμος· [11]καὶ οἷος

---

4 νευροσπαστείας T. 8 ἀποκαισαριανωθῇς A. 11 πρέποντα T: πρότερα A. 14 οὐσία A. 17 εὐόδιον: em. Xylander. 18 μειλίχιον T. 21 αὐτῷ Stich: αὐτοῦ A, αὐτὸν T. 26 ἐσθῆτι T: εὐθύ τι A.

AT *μέν⟨ειν⟩ ἐν τῷ ⟨αὐτῷ⟩ μέχρι ἑσπέρας διὰ τὴν λιτὴν δίαιταν μηδὲ τοῦ ἀποκρίνειν τὰ περιττώματα παρὰ τὴν συνήθη ὥραν χρῄζειν· [12]καὶ τὸ βέβαιον καὶ ὅμοιον ἐν ταῖς φιλίαις αὐτοῦ· [13]καὶ τὸ ἀνέχεσθαι ἀντιβαινόντων παρρησιαστικῶς ταῖς γνώμαις αὐτοῦ καὶ χαίρειν, εἴ τις δεικνύοι κρεῖττον· [14]καὶ ὡς θεοσεβὴς χωρὶς δεισιδαιμονίας· [15]ἵν' οὕτως εὐσυνειδήτῳ σοι ἐπιστῇ ἡ τελευταία ὥρα, ὡς ἐκείνῳ.*

ATX 31. *Ἀνάνηφε καὶ ἀνακαλοῦ σεαυτὸν καὶ ἐξυπνισθεὶς πάλιν καὶ ἐννοήσας, ὅτι ὄνειροί σοι ἠνώχλουν, πάλιν ἐγρηγορὼς βλέπε ταῦτα, ὡς ἐκεῖνα ἔβλεπες.*

AT 32. *Ἐκ σωματίου εἰμὶ καὶ ψυχῆς. τῷ μὲν οὖν σωματίῳ πάντα ἀδιάφορα· οὐδὲ γὰρ δύναται διαφέρεσθαι. [2]τῇ δὲ διανοίᾳ ἀδιάφορα, ὅσα μή ἐστιν αὐτῆς ἐνεργήματα· ὅσα δέ γε αὐτῆς ἐστιν ἐνεργήματα, ταῦτα πάντα ἐπ' αὐτῇ ἐστιν. [3]καὶ τούτων μέντοι περὶ μόνον τὸ παρὸν πραγματεύεται· τὰ γὰρ μέλλοντα καὶ παρῳχηκότα ἐνεργήματα αὐτῆς καὶ αὐτὰ ἤδη ἀδιάφορα.*

ATB 33. *Οὐκ ἔστιν ὁ πόνος τῇ χειρί οὐδὲ τῷ ποδὶ παρὰ φύσιν, μέχρις ἂν ποιῇ ὁ ποῦς τὰ τοῦ ποδὸς καὶ ἡ χεὶρ τὰ τῆς χειρός. [2]οὕτως οὖν οὐδὲ ἀνθρώπῳ ὡς ἀνθρώπῳ παρὰ φύσιν ἐστὶν ὁ πόνος, μέχρις ἂν ποιῇ τὰ τοῦ ἀνθρώπου. [3]εἰ δὲ παρὰ φύσιν αὐτῷ οὐκ ἔστιν, οὐδὲ κακόν ἐστιν αὐτῷ.*

AT 34. *Ἡλίκας ἡδονὰς ἤσθησαν λῃσταί, κίναιδοι, πατραλοῖαι, τύραννοι.*

---

1 suppl. Is. Casaub. 3 *χρήζων* T. 4 *φίλαις* A pr. ⟨*τῶν*⟩ *ἀντιβαινόντων* Cor. 13 *οὐδὲ* . . . (14) *ἀδιάφορα* om. A. 16 ⟨, *ἃ*⟩ *περὶ* T. 18 *ἤδη ἀδιάφορα* T: *ἣ διάφορα* A. 20 *μέχρι ἂν πονῇ* B. *τὰ* B, Lugd.: *τὸ* AT. 21 *ὡς ἀνθρώπῳ* om. A. 22 *πονῇ* B. 23—24 *κακόν ἐστιν* B, Gat.: *κακὸν οὐκ ἔστιν* AT. 24 *αὐτῷ* T: *αὐτῶν* A, *αὐτὸν* B. 25 ⟨*καὶ*⟩ *κίναιδοι* A.

35. *Οὐχ ὁρᾷς, πῶς οἱ βάναυσοι τεχνῖται ἁρμόζονται μὲν μέχρι τινὸς πρὸς τοὺς ἰδιώτας, οὐδὲν ἧσσον μέντοι ἀντέχονται τοῦ λόγου τῆς τέχνης καὶ τούτου ἀποστῆναι οὐχ ὑπομένουσιν;* [2]*οὐ δεινόν, εἰ ὁ ἀρχιτέκτων καὶ ὁ ἰατρὸς μᾶλλον αἰδέσονται τὸν τῆς ἰδίας τέχνης λόγον ἢ ὁ ἄνθρωπος τὸν ἑαυτοῦ, ὃς αὐτῷ κοινός ἐστι πρὸς τοὺς θεούς;* ATB

36. *Ἡ Ἀσία, ἡ Εὐρώπη γωνίαι τοῦ κόσμου· πᾶν πέλαγος σταγὼν τοῦ κόσμου· Ἄθως βωλάριον τοῦ κόσμου· πᾶν τὸ ἐνεστὼς τοῦ χρόνου στιγμὴ τοῦ αἰῶνος· πάντα μικρά, εὔτρεπτα, ἐναφανιζόμενα.* [2]*πάντα ἐκεῖθεν ἔρχεται, ἀπ' ἐκείνου τοῦ κοινοῦ ἡγεμονικοῦ ὁρμήσαντα ἢ κατ' ἐπακολούθησιν.* [3]*καὶ τὸ χάσμα οὖν τοῦ λέοντος καὶ τὸ δηλητήριον καὶ πᾶσα κακουργία, ὡς ἄκανθα, ὡς βόρβορος, ἐκείνων ἐπιγεννήματα τῶν σεμνῶν καὶ καλῶν.* [4]*μὴ οὖν αὐτὰ ἀλλότρια τούτου, οὗ σέβεις, φαντάζου, ἀλλὰ τὴν πάντων πηγὴν ἐπιλογίζου.* AT

37. *Ὁ τὰ νῦν ἰδὼν πάντα ἑώρακεν, ὅσα τε ἐξ ἀιδίου ἐγένετο καὶ ὅσα εἰς τὸ ἄπειρον ἔσται· πάντα γὰρ ὁμογενῆ καὶ ὁμοειδῆ.*

38. *Πολλάκις ἐνθυμοῦ τὴν ἐπισύνδεσιν πάντων τῶν ἐν τῷ κόσμῳ καὶ σχέσιν πρὸς ἄλληλα.* [2]*τρόπον γάρ τινα πάντα ἀλλήλοις ἐπιπέπλεκται καὶ πάντα κατὰ τοῦτο φίλα ἀλλήλοις ἐστίν· καὶ γὰρ ἄλλῳ ἄλλο ἑξῆς ἐστι ταῦτα διὰ τὴν τονικὴν κίνησιν καὶ σύμπνοιαν καὶ τὴν ἕνωσιν τῆς οὐσίας.*

---

1 πῶς οἱ T: πόσοι AB. 2 μέχρι A: ἄχρι TB. 4 εἰ ὁ TB: εἶ A. 6—7 τὸν θεόν B. 9 ἄθος A. 19 ἐγίνετο A. 23 ἐπιπλέκεται A. 24 ἄλλῳ ἄλλο Cor.: ἄλλῳ T, ἄλλο A. ταῦτα scripsi: τοῦτο. 25 τοπικὴν κόνησιν T (*constantem motum* Xyl.).

ATX 39. *Οἷς συγκεκλήρωσαι πράγμασι, τούτοις συνάρμοζε σεαυτόν· καὶ οἷς συνείληχας ἀνθρώποις, τούτους φίλει, ἀλλ' ἀληθινῶς.*

40. *Ὄργανον, ἐργαλεῖον, σκεῦος πᾶν εἰ, πρὸς ὃ κατεσκεύασται, ποιεῖ, εὖ ἔχει· καίτοι ἐκεῖ ὁ κατασκευάσας ἐκποδών.* [2]*ἐπὶ δὲ τῶν ὑπὸ φύσεως συνεχομένων ἔνδον ἐστὶ καὶ παραμένει ἡ κατασκευάσασα δύναμις· καθὸ καὶ μᾶλλον αἰδεῖσθαι αὐτὴν δεῖ καὶ νομίζειν, ἐὰν κατὰ τὸ βούλημα ταύτης αὐτὸς ἔχῃς καὶ διεξάγῃς, ἔχειν σοι πάντα κατὰ νοῦν.* [3]*ἔχει δὲ οὕτως καὶ τῷ παντὶ κατὰ νοῦν τὰ ἑαυτοῦ.*

AT 41. *Ὅ τι ἂν τῶν ἀπροαιρέτων ὑποστήσῃ σαυτῷ ἀγαθὸν ἢ κακόν, ἀνάγκη κατὰ τὴν περίπτωσιν τοῦ τοιούτου κακοῦ ἢ τὴν ἀπότευξιν τοῦ τοιούτου ἀγαθοῦ μέμψασθαί σε θεοῖς καὶ ἀνθρώπους δὲ μισῆσαι τοὺς αἰτίους ὄντας ἢ ὑποπτευομένους ἔσεσθαι τῆς ἀποτεύξεως ἢ τῆς περιπτώσεως· καὶ ἀδικοῦμεν δὲ πολλὰ διὰ τὴν πρὸς ταῦτα διαφοράν.* [2]*ἐὰν δὲ μόνα τὰ ἐφ' ἡμῖν ἀγαθὰ καὶ κακὰ κρίνωμεν, οὐδεμία αἰτία καταλείπεται οὔτε θεῷ ἐγκαλέσαι οὔτε πρὸς ἄνθρωπον στῆναι στάσιν πολεμίου.*

42. *Πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως, ὥσπερ καὶ τοὺς καθεύδοντας, οἶμαι, ὁ Ἡράκλειτος ἐργάτας εἶναι λέγει καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων.* [2]*ἄλλος*

22 Heracl. fragm. 75 Diels.

1 *Οἷς*] *Τί* A. 4 *εἰ*] *εἰς* z. 5 *καίτοι* om. x. *ἐκεῖνο ὁ* $l_3$; *ἐκεῖνα* Menag. 6 *ἐμποδών* y. 7 *καὶ* pr. om. z. 8 *κατὰ* om. y. *τὸ* om. z. 9 *αὐτὸς* scripsi: *αὐτὸν* A, om. TX. *ἔχῃς καὶ διεξάγῃς* Schultz II: *ἔχῃς καὶ διεξαγάγῃς* T, *διεξάγῃς* AX. *ἔχειν* AX: *ἔχει* T. 12 *ὑποστήσῃς αὐτῶ* T et (*αὐτῶ*) A: corr. Leop. 14 *κακοῦ . . . τοιούτου* om. A. 17 *δὴ* Cas. tacite. 19 *κρίνωμεν* Morus (*κρινῶμεν* Gat.; *tractaremus* Xyl., *duceremus* Cas.): *κινῶμεν*. 22 *ἀνεπιστήτως* Gat.

*δὲ κατ' ἄλλο συνεργεῖ, ἐκ περιουσίας δὲ καὶ ὁ μεμφό-* AT *μενος καὶ ὁ ἀντιβαίνειν πειρώμενος καὶ ἀναιρεῖν τὰ γινόμενα· καὶ γὰρ τοῦ τοιούτου ἔχρῃζεν ὁ κόσμος.* [3]*λοιπὸν οὖν σύνες, εἰς τίνας ἑαυτὸν κατατάσσεις· ἐκεῖνος μὲν γὰρ πάντως σοι καλῶς χρήσεται ὁ τὰ ὅλα διοικῶν καὶ παραδέξεταί σε εἰς μέρος τι τῶν συνεργῶν καὶ συνεργητικῶν.* [4]*ἀλλὰ σὺ μὴ τοιοῦτον μέρος γένῃ, οἷος ὁ εὐτελὴς καὶ γελοῖος στίχος ἐν τῷ δράματι, οὗ Χρύσιππος μέμνηται.*

43. *Μήτι ὁ ἥλιος τὰ τοῦ ὑετοῦ ἀξιοῖ ποιεῖν; μή τι ὁ* ATB *Ἀσκληπιὸς τὰ τῆς Καρποφόρου; τί δὲ τῶν ἄστρων ἕκαστον; οὐχὶ διάφορα μέν, συνεργὰ δὲ πρὸς ταὐτόν;*

44. *Εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοί, καλῶς ἐβουλεύσαντο· ἄβουλον γὰρ θεὸν οὐδὲ ἐπινοῆσαι ῥᾴδιον· κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾶν;* [2]*τί γὰρ αὐτοῖς ἢ τῷ κοινῷ, οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγένετο;* [3]*εἰ δὲ μὴ ἐβουλεύσαντο κατ' ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ' ἐπακολούθησιν καὶ ταῦτα συμβαίνοντα ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω.* [4]*εἰ δ' ἄρα περὶ μηδενὸς βουλεύονται (πιστεύειν μὲν οὐχ ὅσιον ἢ μηδὲ θύωμεν μηδὲ εὐχώμεθα μηδὲ ὀμνύωμεν μηδὲ τὰ ἄλλα πράσσωμεν, ἅπερ ἕκαστα ὡς πρὸς παρόντας καὶ συμβιοῦντας τοὺς θεοὺς πράσσομεν), εἰ δ' ἄρα περὶ μηδενὸς τῶν καθ' ἡμᾶς βουλεύονται, ἐμοὶ μὲν ἔξεστι περὶ ἐμαυτοῦ βουλεύεσθαι, ἐμοὶ δέ ἐστι*

---

7 Chrys. fragm. phys. 1181 v. Arn.

---

1 *ὁ ⟨μὲν⟩ μεμφόμενος* A. 4 *τίνας ἑαυτὸν* T: *τίνα σεαυτόν* A; *τίνας σεαυτόν* Stich. 6 *συνεργῶν καὶ* om. A. 7 *τοιοῦτο* T. *οἷος ὁ* T: *οἷς* A. 14 *κακοποιῆσαι* AT: *κακῶ* (ut vid.; fuitne *κακοῦν* ?) B. 15 *τί γ . . . ῳ αὐτοῖς* in B dispicitur. 18 *κατὰ τὴν ἐπακ.* B (ut vid.). 21 *ἢ* A 24 *δὲ* T *ἡμῶν* T. 25 *μὲν* AT: *δ' οὖν ὅμως* B.

ATB σκέψις περὶ τοῦ συμφέροντος. [5]συμφέρει δὲ ἑκάστῳ τὸ κατὰ τὴν ἑαυτοῦ κατασκευὴν καὶ φύσιν· ἡ δὲ ἐμὴ φύσις λογικὴ καὶ πολιτική.

AT [6]Πόλις καὶ πατρίς ὡς μὲν Ἀντωνίνῳ μοι ἡ Ῥώμη, ὡς δὲ ἀνθρώπῳ ὁ κόσμος. τὰ ταῖς πόλεσιν οὖν ταύταις ὠφέλιμα μόνα ἐστί μοι ἀγαθά.

45. Ὅσα ἑκάστῳ συμβαίνει, ταῦτα τῷ ὅλῳ συμφέρει· ἤρκει τοῦτο. [2]ἀλλ' ἔτι ἐκεῖνο ὡς ἐπίπαν ὄψει παραφυλάξας, ὅσα ἀνθρώπῳ, καὶ ἑτέροις ἀνθρώποις. [3]κοινότερον δὲ νῦν τὸ συμφέρον ἐπὶ τῶν μέσων λαμβανέσθω.

46. Ὥσπερ προσίσταταί σοι τὰ ἐν τῷ ἀμφιθεάτρῳ καὶ τοῖς τοιούτοις χωρίοις, ὡς ἀεὶ τὰ αὐτὰ ὁρώμενα καὶ τὸ ὁμοειδὲς προσκορῆ τὴν θέαν ποιεῖ, τοῦτο καὶ ἐπὶ ὅλου τοῦ βίου πάσχειν· πάντα γὰρ ἄνω κάτω τὰ αὐτὰ καὶ ἐκ τῶν αὐτῶν. μέχρι τίνος οὖν;

47. Ἐννόει συνεχῶς παντοίους ἀνθρώπους, καὶ παντοίων μὲν ἐπιτηδευμάτων, παντοδαπῶν δὲ ἐθνῶν, τεθνεῶτας· ὥστε κατιέναι τοῦτο μέχρι Φιλιστίωνος καὶ Φοίβου καὶ Ὀριγανίωνος. [2]μέτιθι νῦν ἐπὶ τὰ ἄλλα φῦλα. [3]ἐκεῖ δὴ μεταβαλεῖν ἡμᾶς δεῖ, ὅπου τοσοῦτοι μὲν δεινοὶ ῥήτορες, τοσοῦτοι δὲ σεμνοὶ φιλόσοφοι, Ἡράκλειτος, Πυθαγόρας, Σωκράτης, τοσοῦτοι δὲ ἥρωες πρότερον, τοσοῦτοι δὲ ὕστερον στρατηγοί, τύραννοι. [4]ἐπὶ τούτοις δὲ Εὔδοξος, Ἵππαρχος, Ἀρχιμήδης, ἄλλαι φύσεις ὀξεῖαι, μεγαλόφρονες, φιλόπονοι, πανοῦργοι, αὐθάδεις, αὐτῆς τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς χλευασταί, οἷον Μένιππος καὶ ὅσοι τοιοῦτοι. [5]περὶ πάν-

27 cf. schol. in Luciani Pisc. 26 (135, 13 R).

1 ⟨ἡ⟩ σκέψις B. 9 καὶ Gat.: ἢ. 10 λαμβάνεσθαι A. 11 Ὅσπερ Bas. (*quae vides* Xyl.); Ὅπερ Gat. προίσταται A. ἐν τῷ ἀμφιθεάτρῳ A: ἀμφὶ τῷ θεάτρῳ T.

των τούτων ἐννόει, ὅτι πάλαι κεῖνται. τί οὖν τοῦτο δεινὸν αὐτοῖς; τί δαὶ τοῖς μηδ' ὀνομαζομένοις ὅλως; [6]ἓν ὧδε πολλοῦ ἄξιον, τὸ μετ' ἀληθείας καὶ δικαιοσύνης εὐμενῆ τοῖς ψεύσταις καὶ ἀδίκοις διαβιοῦν. AT

48. Ὅταν εὐφρᾶναι σεαυτὸν θέλῃς, ἐνθυμοῦ τὰ προτερήματα τῶν συμβιούντων· οἷον τοῦ μὲν τὸ δραστήριον, τοῦ δὲ τὸ αἰδῆμον, τοῦ δὲ τὸ εὐμετάδοτον, ἄλλου δὲ ἄλλο τι. [2]οὐδὲν γὰρ οὕτως εὐφραίνει, ὡς τὰ ὁμοιώματα τῶν ἀρετῶν, ἐμφαινόμενα τοῖς ἤθεσι τῶν συζώντων καὶ ἀθρόα ὡς οἷόν τε συμπίπτοντα. [3]διὸ καὶ πρόχειρα αὐτὰ ἑκτέον.

49. Μήτι δυσχεραίνεις, ὅτι τοσῶνδέ τινων λιτρῶν εἶ καὶ οὐ τριακοσίων; οὕτω δὴ καὶ ὅτι μέχρι τοσῶνδε ἐτῶν βιωτέον σοι καὶ οὐ μέχρι πλείονος· ὥσπερ γὰρ τῆς οὐσίας ὅσον ἀφώρισταί σοι στέργεις, οὕτως καὶ ἐπὶ τοῦ χρόνου·

50. Πειρῶ μὲν πείθειν αὐτούς, πρᾶττε δὲ καὶ ἀκόντων, ὅταν τῆς δικαιοσύνης ὁ λόγος οὕτως ἄγῃ. [2]ἐὰν μέντοι βίᾳ τις προσχρώμενος ἐνίστηται, μετάβαινε ἐπὶ τὸ εὐάρεστον καὶ ἄλυπον καὶ συγχρῶ εἰς ἄλλην ἀρετὴν τῇ κωλύσει καὶ μέμνησο, ὅτι μεθ' ὑπεξαιρέσεως ὥρμας, ὅτι καὶ τῶν ἀδυνάτων οὐκ ὠρέγου. [3]τίνος οὖν; τῆς τοιᾶσδέ τινος ὁρμῆς. τούτου δὲ τυγχάνεις· ἐφ' οἷς προήχθημεν, ταῦτα γίνεται.

51. Ὁ μὲν φιλόδοξος ἀλλοτρίαν ἐνέργειαν ἴδιον ἀγαθὸν ὑπολαμβάνει, ὁ δὲ φιλήδονος ἰδίαν πεῖσιν· ὁ δὲ νοῦν ἔχων ἰδίαν πρᾶξιν.

52. Ἔξεστι περὶ τούτου μηδὲν ὑπολαμβάνειν καὶ μὴ

---

4 ἀδίκως A. 9 ἐμφαινόμενα . . . συζώντων om. A. 12 δυσχεραίνῃς A. 15 στέργοις T (corr. Bas.) 16 Πειρῶμεν: em. Nauck. πράττε: corr. Dübner. ⟨τῶν⟩ ἀκόντων T. 17 οὗτος A corr. 20 ὁρμᾶς: em. Cor. 21 ὠρέγου A, Gat.: ὀρέγου T.

AT ὀχλεῖσθαι τῇ ψυχῇ· [2]αὐτὰ γὰρ τὰ πράγματα οὐκ ἔχει φύσιν ποιητικὴν τῶν ἡμετέρων κρίσεων.

53. Ἔθισον σεαυτὸν πρὸς τῷ ὑφ' ἑτέρου λεγομένῳ γίνεσθαι ἀπαρενθυμήτως καὶ ὡς οἷόν τε ἐν τῇ ψυχῇ τοῦ λέγοντος γίνου.

54. Τὸ τῷ σμήνει μὴ συμφέρον οὐδὲ τῇ μελίσσῃ συμφέρει.

55. Εἰ κυβερνῶντα οἱ ναῦται ἢ ἰατρεύοντα οἱ κάμνοντες κακῶς ἔλεγον, ἄλλῳ τινὶ ἂν προσεῖχον, ἢ πῶς αὐτὸς ἐνεργοίη τὸ τοῖς ἐμπλέουσι σωτήριον ἢ τὸ τοῖς θεραπευομένοις ὑγιεινόν;

56. Πόσοι, μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον, ἤδη ἀπεληλύθασιν.

57. Ἰκτεριῶσι τὸ μέλι πικρὸν φαίνεται καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερόν καὶ παιδίοις τὸ σφαιρίον καλόν. [2]τί οὖν ὀργίζομαι; ἢ δοκεῖ σοι ἔλασσον ἰσχύειν τὸ διεψευσμένον ἢ τὸ χόλιον τῷ ἰκτεριῶντι καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ;

58. Κατὰ τὸν λόγον τῆς σῆς φύσεως βιοῦν σε οὐδεὶς κωλύσει· παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται.

59. Οἷοί εἰσιν, οἷς θέλουσιν ἀρέσκειν, καὶ δι' οἷά τινα περιγινόμενα καὶ δι' οἵων ἐνεργειῶν. [2]ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει καὶ ὅσα ἐκάλυψεν ἤδη.

---

3 τῷ A pr., Cor.: τὸ T, τῶν A corr. λεγομένου A. 8 κυβερνῶνται et ἰατρεύονται T. 9 τίνι ἂν προσεῖχον; AT: em. Cor. 10 ἐνεργοίην Richards: malim πῶς ἄν τις ἐνεργοίη. 19 σῆς om. A. 22—23 οἷά τινα scripsi: οἷοι τὰ A: οἷα T; οἷα τὰ Cor.

# ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

## Ζ

1. *Τί ἐστι κακία; τοῦτ' ἔστιν, ὃ πολλάκις εἶδες. καὶ* AT *ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τοῦτό ἐστιν, ὃ πολλάκις εἶδες.* [2]*ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαί, αἱ μέσαι, αἱ ὑπόγυιοι, ὧν νῦν μεσταὶ αἱ πόλεις καὶ ⟨αἱ⟩ οἰκίαι.* [3]*οὐδὲν καινόν· πάντα καὶ συνήθη καὶ ὀλιγοχρόνια.*

2. *Ἧ τὰ δόγματά πώς γε ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν; ἃς διηνεκῶς ἀναζωπυρεῖν ἐπὶ σοί ἐστι.* [2]*δύναμαι περὶ τούτου, ὃ δεῖ, ὑπολαμβάνειν· εἰ δ' ἄρα δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν.* [3]*τοῦτο μάθε καὶ ὀρθὸς εἶ. ἀναβιῶναί σοι ἔξεστιν· ἴδε πάλιν τὰ πράγματα, ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι.*

3. *Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοὶ κυνιδίοις ὀστάριον ἐρριμμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς, μυρμήκων ταλαιπωρίαι καὶ ἀχθοφορίαι, μυιδίων ἐπτοημένων διαδρομαί, σιγιλλάρια νευροσπαστούμενα.* [2]*χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ καταφρυαττόμενον ἑστάναι, παρα-*

---

5 *Τι ἐστι* T: *Τουτέστι* A; an *Τί ποτ' ἐστὶ* ? 9 suppl. Cor. 10 *καὶ* alt. om. T (habet Xyl.). 11 *Ἧ* scripsi: *ἣ* A, om. T. *πώς γε* scripsi: *πῶς γὰρ* A, *πῶς* T. 12 *κατάλληλαι* A. *ἃς* A (*quas* Xyl.): *ὡς* T. 14 *εἰ δ' ἄρα* scripsi (*εἰ ἄρα* Rendall): *εἰ γὰρ* A, *εἰ* T. 16 *πάθε* T. *ὀρθῶς* A. *εἶ.* ⟨*εἰ*⟩ A; *ὀρθῶς οἴει* Stich, malim *ὀρθὸς ἔσῃ* (vel *ἔσο*). 18 *τὸ* T: *τῷ* A. 20 *διαδορατισμοί* ⟨*, τί εἰσί μοι;*⟩ Lofft (malim ⟨*τί ἐμοί;*⟩). 22 *μυδίων* A. 24 *καταφρυαττόμενον* A: *φρυαττόμενον* T.

AT κολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἄξιά ἐστι ταῦτα, περὶ ἃ ἐσπούδακεν.

4. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις καὶ καθ' ἑκάστην ὁρμὴν τοῖς γινομένοις καὶ ἐπὶ μὲν τοῦ ἑτέρου εὐθὺς ὁρᾶν, ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά, ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν, τί τὸ σημαινόμενον.

5. Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο ἢ οὔ; [2]εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι· εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ, ἢ πράσσω, ὡς δύναμαι, προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. [3]ὅ τι γὰρ ἂν δι' ἐμαυτοῦ ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον.

6. Ὅσοι μὲν πολυύμνητοι γενόμενοι ἤδη λήθῃ παραδέδονται· ὅσοι δὲ τούτους ὑμνήσαντες πάλαι ἐκποδών.

ATX 7. Μὴ αἰσχύνου βοηθούμενος· πρόκειται γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον ὡς στρατιώτῃ ἐν τειχομαχίᾳ. [2]τί οὖν, ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο;

AT 8. Τὰ μέλλοντα μὴ ταρασσέτω· ἥξεις γὰρ ἐπ' αὐτά, ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν πρὸς τὰ παρόντα χρᾷ.

9. Πάντα ἀλλήλοις ἐπιπλέκεται καὶ ἡ σύνδεσις ἱερὰ καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ· συγκατατέ-

---

8 αὐτὴν A. 17 παραδίδονται A, Lugd. 20 τοὐπιβάλλον X. στρατιώτης B y a pr. 21 χωλεύων X. 22 μὴ] οὐ B. δύνησαι z, δυνήσῃ $p_4$. 23 ἥξεις T: . ξεις A (incerta prima littera, sine acc. et spir.).

τακται γὰρ καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. [2]κόσμος τε γὰρ εἷς ἐξ ἁπάντων καὶ θεὸς εἷς διὰ πάντων καὶ οὐσία μία καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζῴων, καὶ ἀλήθεια μία, εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζῴων. A T

10. Πᾶν τὸ ἔνυλον ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ καὶ πᾶν αἴτιον εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι.

11. Τῷ λογικῷ ζῴῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστὶ καὶ κατὰ λόγον.

12. Ὀρθὸς ἢ ὀρθούμενος.

13. Οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικὰ πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. [2]μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται, ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος· [3]ἐὰν δὲ διὰ τοῦ ῥῶ στοιχείου μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους, οὔπω σε καταληκτικῶς εὐφραίνει τὸ εὐεργετεῖν· ἔτι εἰ ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς, οὔπω ὡς ἑαυτὸν εὖ ποιῶν.

14. Ὃ θέλει, ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. [2]ἐκεῖνα γάρ, ἐὰν θελήσῃ, μέμψεται τὰ παθόντα, ἐγὼ δέ, ἐὰν μὴ ὑπολάβω, ὅτι κακὸν τὸ συμβεβηκός, οὔπω βέβλαμμαι. ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν.

15. Ὅ τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι·

---

2 ἐξ A: διὰ T. θεὸς εἷς δι' ἁπάντων Leop. 4 ⟨ἡ⟩ ἀλήθεια A. 7 τάχιστα . . . (8) μνήμη om. A. 12 ἢ] μὴ Cas. 20 καταληπτικῶς: em. Gat. εἰ om. T. 21 ἑαυτὸν A: αὐτὸν T. 22 θέλεις A; id. προπιπτέτω et πάθεσιν. 27 ὅ τι ἄν τις Gat.: ὃ ἄν τις A, ὅ τις ἂν T,

AT ὡς ἂν εἰ ὁ χρυσὸς ἢ ὁ σμάραγδος ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν 'ὅ τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν'.

16. Τὸ ἡγεμονικὸν αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ, οἷον λέγω, οὐ σοβεῖ ἑαυτὸ εἰς ἐπιθυμίαν. [2]εἰ δέ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω· αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. [3]τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω, εἰ δύναται, καὶ λεγέτω, εἴ τι πάσχει· τὸ δὲ ψυχάριον τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον οὐδὲν μὴ πάθῃ· οὐ γὰρ ἕξις αὐτῷ εἰς κρίσιν τοιαύτην. [4]ἀπροσδεές ἐστιν, ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονικόν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ, κατὰ ταὐτὰ δὲ καὶ ἀτάραχον καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ.

17. Εὐδαιμονία ἐστὶ δαίμων ἀγαθὸς ἢ ........ ἀγαθόν. [2]τί οὖν ὧδε ποιεῖς, ὦ φαντασία; ἀπέρχου, τοὺς θεούς σοι, ὡς ἦλθες· οὐ γὰρ χρῄζω σου. [3]ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος· οὐκ ὀργίζομαί σοι· μόνον ἄπιθι.

ATX 18. Φοβεῖταί τις μεταβολήν; τί γὰρ δύναται χωρὶς μεταβολῆς γενέσθαι; τί δὲ φίλτερον ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; [2]σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χωρὶς μεταβολῆς; [3]οὐχ ὁρᾷς οὖν, ὅτι καὶ

---

3 τὸ om. A. 4 αὐτὸ T: τοῦτο A. 5 φοβεῖ: emendavi. ἑαυτῶ A. 6 ποιεῖ τὸ αὐτὸ A. ἑαυτῶ A. 9 τὸ δὲ A, Bas.: τὴ δὲ T (om. Xyl.). 11 ἕξις αὐτῷ scripsi (*neque ... ei sunt habitus* Xyl.): ἕξεις αὐτὸ. 13 ταῦτα A. 14 ἑαυτῷ A. 15 lac. not. Gat., qui ἢ ⟨ἡγεμονικὸν⟩ coni. 20 γὰρ] δὲ X. 21 δὲ] δαὶ T. 22 αὐτοὺς A. 23 (et 24) μεταβάλῃς X. 23 δύνησαι A. 24 ⟨ἀπὸ⟩ τῶν z. 25 τελεσθῆναι X.

ATX
αὐτὸ τὸ σὲ μεταβαλεῖν ὅμοιόν ἐστι καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει;

AT
19. Διὰ τῆς τῶν ὅλων οὐσίας ὡς διὰ χειμάρρου διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργά, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις.

[2] Πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους καταπέπωκεν. [3] τὸ δ' αὐτὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω.

20. Ἐμὲ ἓν μόνον περισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει ἢ ὡς οὐ θέλει ἢ ὃ νῦν οὐ θέλει.

21. Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη, ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

ATX
22. Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. [2] τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς καὶ δι' ἄγνοιαν καὶ ἄκοντες ἁμαρτάνουσι καὶ μετ' ὀλίγον ἀμφότεροι τεθνήξεσθε καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέν σε· οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν.

ATB
23. Ἡ τῶν ὅλων φύσις ἐκ τῆς ὅλης οὐσίας ὡς κηροῦ νῦν μὲν ἱππάριον ἔπλασε, συγχέασα δὲ τοῦτο εἰς δενδρύφιον συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ, εἶτα εἰς ἀνθρωπάριον, εἶτα εἰς ἄλλο τι· ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. [2] δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ, ὥσπερ οὐδὲ τὸ συμπαγῆναι.

---

1 μεταβαλλεῖν X pauci. 3 ἐκπορεύεται A pr. 10 αὐτὸ A. 12 οὐ om. A. 15 ⟨τὸ⟩ φιλεῖν x. 16 γίνοιτ' ἂν X (γένοιτ' ἂν BX nonn.). προσπίπτῃ X (προσπροσπίπτῃ B). 17 καὶ ante ἄκοντες om. y. καὶ A: καὶ ὡς T, καὶ ὅτιπερ (om. μετ' ὀλίγον) X. 18 τεθνήξεσθε X plerique: τεθνήξεσθαι AX nonn., τεθνήξετε T. 19 ἦν om. z. 21 συγχέουσα B. δενδρύφιον Nauck: δένδρου φύσιν. 23 εἰς] ὡς A. ὀλίγον B. 24 τῷ TB: τὸ A.

AT 24. *Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, † ὅταν πολλάκις ἐναποθνήσκειν ᾖ πρόσχημα, ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι.* ²*αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον· εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία;*

25. *Πάντα, ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος.*

26. *Ὅταν τις ἁμάρτῃ τι εἰς σέ, εὐθὺς ἐνθυμοῦ, τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτεν· τοῦτο γὰρ ἰδὼν ἐλεήσεις αὐτὸν καὶ οὔτε θαυμάσεις οὔτε ὀργισθήσῃ.* ²*ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις ἢ ἄλλο ὁμοειδές. δεῖ οὖν συγγινώσκειν.* ³*εἰ δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακά, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι.*

27. *Μὴ τὰ ἀπόντα ἐννοεῖν ὡς ἤδη ὄντα, ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι καὶ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν.* ²*ἅμα μέντοι φυλάσσου, μὴ διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς ἐθίσῃς ἐκτιμᾶν αὐτά, ὥστε, ἐάν ποτε μὴ παρῇ, ταραχθήσεσθαι.*

ATD 28. *Εἰς αὑτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι καὶ παρ᾽ αὐτὸ τοῦτο γαλήνην ἔχοντι.*

29. *Ἐξάλειψον τὴν φαντασίαν.* ²*στῆσον τὴν νευρο-*

---

2—3 locus desperatus. 2 ᾖ T: ἢ A. *τελευταίαν* A. 4 *τοῦτο* A. 12 *ὑπολαβὸν* A. 14 *ὑπολαμβάνεις* A (*ει* corr.). 16 *καλά* A. 17 *ῥάδιον* A. 19 *καὶ* . . . (20) *ὑπομιμνήσκεσθαι* om. A. 21 *ὄντως* A. 24 *αὑτὸν* TD corr.: *αὐτὸν* AD pr., *σαυτὸν* D s. l. *τὸν* A.

σπαστίαν. [3]περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου. [4]γνώρισον ATD
τὸ συμβαῖνον ἢ σοὶ ἢ ἄλλῳ. [5]δίελε καὶ μέρισον τὸ ὑπο-
κείμενον εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. [6]ἐννόησον τὴν ἐσχά- AT
την ὥραν. [7]τὸ ἐκείνῳ ἁμαρτηθὲν ἐκεῖ κατάλιπε, ὅπου ἡ
ἁμαρτία ὑπέστη.

30. Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ ⟨νῦν⟩ γινόμενα καὶ ποιοῦντα.

31. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. [2]φίλησον τὸ ἀνθρώπινον γένος. [3]ἀκολούθησον θεῷ. [4]ἐκεῖνος μέν φησιν, ὅτι ‘πάντα νομιστί, ἑτεῇ δὲ μόνα τὰ στοιχεῖα’. ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει· ἤδη λίαν ὀλίγα.

32. Περὶ θανάτου· ἢ σκεδασμός, εἰ ἄτομοι· εἰ ἕνωσις, ἤτοι σβέσις ἢ μετάστασις.

33. Περὶ πόνου· τὸ μὲν ἀφόρητον ἐξάγει, τὸ δὲ χρονίζον φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονεν. [2]τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ γε δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

34. Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι καὶ οἷα μὲν φεύγουσαι, οἷα δὲ διώκουσαι. [2]καὶ ὅτι, ὡς αἱ θῖνες ἄλλαι ἐπ᾽ ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰς προτέρας,

---

10 Democriti fragm. 9, 117, 125; cf. Diels Fragm. der Vors. I² 361, 22. 16 cf. Epicuri fragm. 447 Us.

---

4 κατάλειπε A. 7 εἰς τὰ om. A. ⟨νῦν⟩ supplevi. 11 ἑτεῇ Usener: ἔτι ἢ A, ἔτι εἰ T. δαίμονα: em. Cas. 12 ὅτι ⟨εἰ⟩ et v. 13 ἑτεῇ δὴ λίαν ὀλίγα Us. 13 ἢ δηλίαν: corr. Cas. (ἢ δὴ λίαν Xyl.). 14 εἰ σκεδασμὸς ἢ ἄτομοι T (*aut-aut* Xyl.). εἰ (εἰ δ᾽ Cas.) ἕνωσις scripsi: ἢ ἕνωσις A, ἢ κένωσις T. 19 εἴ γε scripsi: εἴ τε A, εἴ τι T. 23 τὰ πρότερα: em. Cor.

AT οὕτως ἐν τῷ βίῳ τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.

35. ‘Ἧι οὖν ὑπάρχει διανοίᾳ μεγαλοπρέπεια καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ᾽ ὅς. οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; ἥκιστά γε.’

36. ‘Βασιλικὸν μὲν εὖ πράττειν, κακῶς δὲ ἀκούειν.’

37. Αἰσχρόν ἐστι τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι, ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ᾽ ὑφ᾽ ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

38. Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν.

39. Ἀθανάτοις τε θεοῖς καὶ ἡμῖν χάρματα δοίης.

40. Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.

41. Εἰ δ᾽ ἠμελήθην ἐκ θεῶν καὶ παῖδ᾽ ἐμώ,
ἔχει λόγον καὶ τοῦτο.

42. Τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὸ δίκαιον.

43. Μὴ συνεπιθρηνεῖν, μὴ σφύζειν.

---

3 Plato Rep. VI 486 A. 8 cf. Arr. Epict. IV 6, 20; Diog. Laert. VI, 3. 13, 16, 18, 20 Eurip. fragm. 287, 1 sq., 757, 6 sq., 208, 1 sq., 918, 3 sq. Nauck[2].

---

1 πρότερα Bas.: πρότερη T, ἑταίρα (accentus corr.) A. 3 ἧ A: ᾧ T (sic et διανοίας dett. codd. Plat.). διανοίᾳ μεγαλοπρέπεια Cor. e Platone: διάνοια μεγαλοπρεπὴς (-πῆ A). 4 ἆρα T: ἄρα A; οἷόν τε Plat. 11 μὴ] καὶ A. 13 πράγμασι: corr. Gat. 17 τὸ μὲν . . . τὸ δὲ: corr. Lugd. 18 ἐμῶν A.